Photius, : c. 820 - 891

2

- 16816

PHOTII PATRIARCHAE

OPUSCULUM PARAENETICUM.

APPENDIX GNOMICA.

EXCERPTA PARISINA.

EDIDIT

LEO STERNBACH.

T.K.

CRACOVIAE.
SUMPTIBUS ACADEMIAE LITTERARUM.
APUD BIBLIOPOLAM SOCIETATIS LIBRARIAE POLONICAE.
(SPÓŁKA WYDAWNICZA POLSKA).
1893.

PA
[5000]
.P49 S
1893

cons.

Seorsum impressum ex XX. Tomo Classis philologicae
Academiae Litterarum Cracoviensis.

Cracoviae, 1893. — Typis Universitatis Iagellonicae, provisore A. M. Kosterkiewiczio.

PHOTII PATRIARCHAE

OPUSCULUM PARAENETICUM

EDIDIT

LEO STERNBACH.

Analecta Gnomica editurus in limine sententiarum corpus pono, quod inscriptione: παραίνεσις διὰ γνωμολογίας Φωτίου insignit codex Vaticanus Gr. n. 742 (chartaceus in 4°, s. XIV; nobis *V)* f. 27^{r}, initio mancum inde a f. 20^{r} suppeditat codex Parisinus Gr. n. 690 Suppl. (membranaceus in 4°, s. XII; *M)*. Codicis V apographo Marciano usus est I. Hergenroether, qui paraenesin prorsus incognitam primus in lucem protraxit*), editoris officio pessime functus: etenim mendosissimi apographi crassissima menda intacta reliquit et verborum contextum lectore non monito emendationibus veris, falsis, supervacaneis obruit. Quibus momentis perpensis editoris munus denuo obeundum esse duxi, ad ipsum consilium haud invite compulsus, cum multas codicis Vaticani (V) lacunas**) ex libro Parisino (M) commode expleri posse reputarem.

*) Monumenta Graeca ad Photium eiusque historiam pertinentia, quae ex variis codicibus manuscriptis collegit ediditque I. Hergenroether (Ratisbonae 1869).

**) Cf. adn. crit. ad n. 5.

Rm. 22. III. 35

Παραίνεσις διὰ γνωμολογίας Φωτίου.

1) Θεῖος φόβος καὶ θεραπεία τεκόντων καὶ τιμὴ πρεσβυτέρων καὶ αἰδὼς ἡλίκων σωφρονούντων ἀπερίτρεπτα τῆς ἀρετῆς τὰ θεμέλια καταβάλλεται.

2) Βίος ἅπαις ἀμείνων κακόπαιδος· ὁ μὲν γὰρ ὀξὺ τὸ κέντρον διαπαντὸς καὶ ἀφόρητον τῆς ἀλγηδόνος ἐνίησιν, ὁ δὲ χρόνῳ συναπορρέον ἔχει τὸ λυπούμενον.

3) Γλῶσσα σοφῶν πολλὰς οἶδε πηγάζειν οὐκ ἀχαρίστους ἡδονάς, τῶν δὲ ἀπαιδεύτων ὕβρεως [καὶ] μᾶλλόν ἐστιν ὄργανον ἢ φωνῆς.

4) Ἐμπεσών τις ἰδίοις κακοῖς πρὸς τὴν τῶν ἀλλοτρίων ὀκνηρότερος γίνεται πολυπραγμοσύνην.

5) Ὁ μὲν κατὰ παθῶν πόλεμος ἀριστέως, αἱ δὲ πρὸς αὐτὰ σπονδαὶ αὐτομόλου καὶ προδότου καὶ πρὸ τῶν ἄλλων ἑαυτὸν αἰχμαλωτίζοντος· ὡςαύτως καὶ ἡ μὲν πρὸς τὰς αἱρέσεις ἔχθρα φίλον Θεῷ, ἡ δὲ εἰρήνη βδέλυγμα Θεῷ.

6) Πρόδηλον ἐχθρὸν καὶ τὸν ὕφαλον τῇ φιλίᾳ οὐχ ὁμοίως ἐστὶ φυλάξασθαι χαλεπόν· ὁ μὲν γὰρ ἐν τῇ τοῦ φίλου δορᾷ λανθάνων φέρει τὸ ξίφος, ὁ δὲ γυμνὸς ἐπιὼν τῶν ἴσων ἢ καὶ μειζόνων τραυμάτων ὑφίσταται τὴν πληγήν.

7) Ὁ πρὸς κακίαν ἀργὸς οὐδὲ ὑπόληψιν λαβεῖν τοιαύτην περὶ τῶν πλησίον ὑπάρχει ταχύς.

8) Σφαλερὸν κριτήριόν ἐστι τοῦ πλησίον ἡ διὰ τῶν οἰκείων κρίσις ἐπιψόγων παθῶν.

9) Ὁ λυπῆσαι τὸν κατάρξαντα καιρὸν λαβὼν καὶ τὴν ἄμυναν μὴ ἐπαγαγών, οὗτος ἔδειξε περιφανῶς, καὶ τοῦ καιροῦ μὴ παρόντος οὐκ ἀπορίᾳ τοῦ δρᾶν, ἀλλ' ἀπαθείᾳ ψυχῆς τὴν γνώμην καθαρὰν ἀντιλυπήσεως συντηρῶν.

Adnotatio critica. 1—4 om. **M**; nimirum inter f. 19 et f. 20 lacuna statuenda est cf. Appendix.

2) ἀμείνων] ἀμείνω V ‖ διαπαντὸς] διὰ παντὸς H(ergenroether), non V ‖ τῷ χρόνῳ V, sicuti omnino ι ἀνεκφώνητον in MV deest; ex M contrariae rationis exempla indicavi ad n. 6. 12. 21. 31. 33. 36. 59. 63. 65. 70. 75. 86. 97. 108. 111. 126. 140. 158. 167. 225. 234. 242; χρόνῳ edidit H ‖ συναποῤῥέον] tacite corr. H: συναπορρεῶν V ‖ λυπούμνον H; cf. Excursus.

3) γλώσσα V ‖ καὶ delendum esse significavi ‖ μᾶλλον ἐστὶν V.

5) om. V, in quo codice praeterea haec tmemata desunt: 8. 14. 17. 31. 37. 38. 39. 44. 45. 47. 59. 61. 63. 65. 68. 71. 73. 81. 83. 88. 95. 122. 125. 126. 127. 130. 140. 149. 156. 192. 193. 212. 225. 226. 229. 231. 240. 247 ‖ ὁ inc. f. 20^{r} (M) ‖ αὐτὰ] αυτὸν M.

6) καὶ inc. f. 27^{v} (V) ‖ (τῇ M) ‖ οὐχ' V; eiusmodi discrepantias in sequentibus silentio premere malo.

8) om. V.

9) συντηρῶν] συντηρεῖν M.

10) Ὁ μὲν μεγαλόφρων ἀνὴρ οὐκ ἐθέλει τοῖς τυχοῦσι τῶν ἔργων συναναστρέφεσθαι, ζητεῖ δὲ τὴν ἐπίδειξιν μὴ ἐλαττοποιεῖσθαι τοῦ φρονήματος· ἀρετὴ δὲ ὅμως καὶ τῷ πρὸς τὸ μέτρον ἐκείνου μὴ φθάσαντι τὸ μὴ ἀμελεῖν τῶν κατὰ δύναμιν καὶ μὴ ἐν τῷ ζητεῖν τὰ ὑπὲρ δύναμιν ἀντὶ τοῦ κατορθῶσαι προσθεῖναι καὶ γέλωτα.

11) Ὁ πρᾶος ἑαυτῷ καὶ τοῖς πλησίον γαλήνη καθέστηκε βίου· ὑποβρυχίους δὲ πολλοὺς ἐποίησεν ἡ ὀργὴ καὶ πρὸ τῶν ἄλλων τοὺς ὀργιζομένους.

12) Εὐχῆς, κἂν μηδὲν ἕτερον ἐξ αὐτῆς ἐπιστῇ, ἀλλά γε τὸ προσομιλεῖν καὶ συνάπτεσθαι τῷ Θεῷ [δι' αὐτῆς] μέγιστον καὶ μακαριώτατον κέρδος.

13) Ὁ μηδὲν ἑαυτῷ συνειδὼς κατὰ τοῦ πλησίον πεπονηρευμένον γλυκείας τῆς κατὰ ψυχὴν καὶ θαυμασίας ἀπολαύει ἡδονῆς, ὥςπερ ὁ συνεπιστάμενος, κἂν ἔξωθεν αὐτῷ τοῦ βουλήματος ἡ ἐπιτυχία μειδιᾷ, ἀεὶ τὴν συνείδησιν ἔνδοθεν ἐπιφέρει, σκυθρωπὴν αὐτῷ καὶ πικρὰν ἐπιφέρουσαν τὴν λύπην.

14) Ὅσον ἐστὶ ῥᾷσιν ἐπιτήδειον ποιεῖν ἡ τῆς πλησμονῆς ἀφαίρεσις, τοσοῦτον ἕτοιμόν ἐστι νοσοποιεῖν τῶν παρὰ τὴν χρείαν ἡ προσθήκη.

15) Ὁ τὰς ἀλλοτρίας συμφορὰς ἅρπαγμα ποιησάμενος πλούτου, εἰ καὶ δόξει τινὰς ἐκεῖθεν εὖ ποιεῖν, οὐκ ἐξ ὧν παρέχει τὸ φιλάνθρωπον, ἀλλ' ἐξ ὧν ἥρπασε, τὸ μισάνθρωπον καὶ τυραννικὸν στηλιτεύει τῆς γνώμης.

16) Φίλους μὴ ἔχειν μηδὲ κτήσασθαι θελῆσαι θηριώδους γνώμης καὶ ἀκοινωνήτου ζώου ἀξιόπιστος κατηγορία.

17) Οἱ ταῖς διαβολαῖς ἀναπειθόμενοι οὐδὲν διενηνόχασιν ἀμφορέων ἀπὸ τῶν ὤτων ὧδε κἀκεῖσε μεταφερομένων.

18) Κατόπτροις ἐοίκασιν οἱ λόγοι· καὶ ὥςπερ ἐν ἐκείνοις ὁ τοῦ σώματος τῆς μορφῆς ἐμφανίζεται τύπος, οὕτως ἐν ταῖς ὁμιλίαις τὸ τῆς ψυχῆς εἶδος χαρακτηριζόμενον καθορᾶται.

19) Ὃς παρεσκεύασε τοὺς ὑπὸ χεῖρα μᾶλλον ὑπὲρ αὐτοῦ ἢ αὐτὸν φοβεῖ-

---

10) ἐλαττοποιεῖσθαι] ἐλάττω ποιεῖσθαι V; vox ἐλαττοποιεῖν in Stephani Thesauro Didotiano non legitur ‖ verba: ζητεῖ δὲ τὴν ἐπίδειξιν μὴ ἐλαττοποιεῖσθαι iterat M ‖ τοῦ inc. f. 28ʳ (V) ‖ δὲ] δ' V ‖ τὸ om. V ‖ μὴ om. M ‖ καταδύναμιν M ‖ καὶ μὴ] ἀλλὰ μὴ M ‖ καὶ μὴ — γελωτα om. V.

11) ἡ ὀργὴ] ὀργὴ M.

12) εὐχῆς] ὑχῆς (sine littera initiali) V ‖ ἀλλά γε] ἀλλ' ἄγε M ‖ (θεῶι M) ‖ δι' αὐτῆς recte om. V.

13) πεπονηρευμένον] πονηρευόμενον V ‖ ἡ ἐπιτυχία] ἐπιτυχία M ‖ ἐπιφέρει] ὑποφέρει?

14) om. V ‖ ὅσόν ἐστι M ‖ ἐπιτήδειον—ἕτοιμόν] praestat: ἐπιτήδειος—ἕτοιμός (=ἐπιτηδεία—ἑτοίμη).

15) inc. f. 28ᵛ (V).

16) μὴ δὲ MV ‖ κατηγορία] κατήγορος V.

17) om. V ‖ in mg. M: ὡραῖον (per scripturae compendium) ‖ ὧδε M.

18) χαρακτηριζόμενον καθορᾶται] χαρακτηρίζεται V.

19) τε om. V ‖ καὶ τῆς inc. f. 29ʳ (V).

σθαι, ἀτάραχον αὐτοῦ τὸν βίον κατεστήσατο· τῆς τε γὰρ ἰδίας ζωῆς τὰς ἐπιβουλὰς ἀπεδίωξε καὶ τὴν εὔνοιαν τῶν ἀρχομένων ἀντεισήγαγε καὶ τῆς πολιτείας τὴν πρόνοιαν καὶ ὁμόνοιαν προκατέθετο.

20) Λίχνον ἀκοή, ἀλλὰ τοῖς μὲν σπουδαίοις τῶν ἀκουσμάτων θᾶττον συνεισέρχεται ὁ κόρος, τοῖς δὲ θέλγουσι καὶ κατακηλοῦσιν οὐκ ἐθέλει τὸ ἀκόρεστον μὴ παρεῖναι.

21) Ὁ τῷ πλήθει ζητῶν ἀρέσκειν οὐχ ἑαυτῷ μόνον τὰ μὴ ἀρέσκοντα ποιεῖ, ἀλλὰ καὶ ὧν τὴν εὐαρέστησιν ἐπιζητεῖ, ταύτην οὐχ εὑρίσκει λαβεῖν· ἀνομοίων γὰρ αὐτοῖς τῶν θελημάτων ὄντων οὐκ οἶδεν ἡ τὸν ἕτερον τέρπουσα τῆς ἐπιθυμίας μορφὴ μὴ ἀσχημοσύνη νομίζεσθαι τῷ ἑτέρῳ.

22) Εἰς ἴσον ἐλαύνει κακὸν ὅρκους ἀπαιτεῖν ἑτέρους καὶ παρέχειν ἑτέροις.

23) Πολυτελῆ δῶρα προσαγόμενα Θεῷ οὐ πάντως εἰσὶν ἀπόδειξις τῆς πρὸς αὐτὸν στοργῆς· καὶ τρυφῶν γὰρ πλοῦτος οἶδε ταῦτα ποιεῖν· καρδία δὲ καθαρὰ καὶ εὐγνώμων ἀναμφίβολον ἀπαγγέλλει τὸν θεῖον πόθον.

24) Αἱ περίεργοι φύσεις πρὸς μὲν τὸ κατόρθωμα τοῦ πλησίου οὐκ ἐθέλουσι βλέπειν, ὀξυωποῦσι δὲ πρὸς τὸ ἐλάττωμα· κἂν μὲν εὕρωσιν, ἥρπασαν καὶ διεκωδώνισαν· ἂν δὲ μὴ εὕρωσιν, αὐτοὶ μᾶλλον εἰδωλοποιεῖν καὶ πλάττειν αἱροῦνται ἢ κενὴν ἀπελθεῖν τὴν περιεργίαν ἀνέχονται.

25) Πραότητος πύλαι οὐ παρέχουσιν εἴσοδον τῇ ὀργῇ· οἴδασι γάρ, ὅτι λῃστεύειν διὰ τῆς παρόδου μηχανᾶται τὴν ἀρετήν.

26) Τῶν μὲν σπουδαίων ἀνδρῶν καὶ αἱ παιδιαὶ ἀρετῆς εἰκόνες εἰσί, τῶν δὲ φαύλων καὶ τὰ σπουδάσματα μοχθηρὰ καὶ αἱ ῥᾳθυμίαι εἴδωλα κακίας εἰσίν.

27) Αἱ μὲν ἀρεταὶ οὐ πεφύκασι διευλαβεῖσθαι τὴν κακίαν, αἱ δὲ κακίαι πολλάκις ὤφθησαν τὰς ἀρετὰς αἰδεσθεῖσαι, καὶ συνεστάλη σώφρονος ἐπιστάντος ἀκόλαστος· πολλάκις καὶ ἀμαθὴς ἐσίγησε σοφοῦ δυσωπηθεὶς παρουσίαν, καὶ θυμὸς ἐξημερώθη θηριώδης τῷ τοῦ πράου περιτυχὼν ἤθει.

28) Ὁ νοῦς οὐκ ἂν γένοιτο τοῖς τῶν παθῶν βεβηλούμενος εἰδώλοις, ἂν τῶν ἀρετῶν τὰς μορφὰς τῇ συνεχεῖ μελέτῃ προεντυπωθεὶς ἱερὸν αὐτῶν ἀνάκτορον χρηματίσῃ.

---

20) λίχνον] δύχνον (λύχνον?) in apographo extare testatur H ‖ θάττον V ‖ ἐθέλει] ἐθέλουσι V ‖ τὸ ἀκόρεστον in fine conlocat V.

21) ποιεῖ] ποιεῖν M ‖ λαβεῖν commode omitti poterat ‖ ὄντων om. V ‖ ἡ] ἢ M ‖ μὴ] ἠμὴ M ‖ (τῶι M).

22) ἴσον] ἶσον V, ὅσον M.

23) πάντως] πάντων V ‖ εὐγνώμων] ἐκ γνώμης V ‖ πόθον] φόβον V.

24) inc. f. 29^{v} (V) ‖ αἱ περίεργοι φύσεις] οἱ περίεργοι φύσει? ‖ ἂν inc. f. 20^{v} (M) ‖ πλάττειν] πράττειν M ‖ ἀνέχονται] ἔχονται M.

25) τῇ ὀργῇ] om. M ‖ ἀρετὴν] ἀκοὴν V.

26) εἰκόνες] τινες (non τινος, quod edidit H) εἰκόνες haud male V.

27) ἐπιστάντος] ἐπιστασίας V ‖ παρουσίαν inc. f. 30^{r} (V).

28) αὐτῶν] αὐτὸν V.

29) Σπινθὴρ μὲν προσλαβόμενος ὕλης μεγάλην ἀνάπτει φλόγα· καὶ πονηρᾶς γνώμης ὑποσμύχουσα κακία καιροῦ δραξαμένη πολλὰς ἀνερρίπισε πολλοῖς συμφορὰς ὀλεθρίους.

30) Τρεῖς εἰσιν ἀκολασίας ἰδέαι· ἡ μὲν ἐκ τῆς ἡμῶν ἀδιαφορίας διαμορφουμένη, ἡ δὲ ἐξ ἐπιβουλῆς τοῦ ἐχθροῦ, ἡ δὲ τὰς φυσικὰς ὁρμὰς ὑποβαλλομένη· χειρίστη μὲν οὖν ἡ ἐκ τῆς ἡμῶν ἀδιαφορίας τά τε ἄλλα καὶ τεχνίτην τοῦ πάθους αὐτὸν τὸν πάσχοντα ἔχει· ἡ δὲ ἐξ ἐπιβουλῆς τοῦ ἐχθροῦ χαλεπὴ μὲν ἐπιθέσθαι, πολλάκις δὲ καὶ στεφάνους προξενεῖ· προσευχὴ γὰρ καὶ λογισμοὶ νήφοντες καὶ σώματος ὑποπλασμὸς τὸ κατ' αὐτῶν ἀναδοῦνται κράτος, ὥσπερ καὶ τὸ κατὰ τῶν σκιρτημάτων τῆς φύσεως· εἴη δ' ἂν τὰ αὐτὰ καὶ τῆς χαλεπωτέρας νόσου ἰάματα διὰ πλείονος τῆς ἐπιμελείας προσφερόμενα.

31) Ἡ μνήμη τῶν ζηλωτῶν ἔργων τῆς ἐν τῷ ἤθει σεμνότητος σημεῖόν ἐστιν, ὥσπερ τῶν ἀποτροπαίων ἔλεγχος τῶν τερπομένων αὐτοῖς· οὐδεὶς γάρ, οἷς αἰσχύνεται, τούτοις ἥδεται διήγημα ποιεῖν.

32) Ὁ νοῦς, ἂν μὴ καθαρεύῃ προσπαθείας τε καὶ ἀντιπαθείας, σφαλερός ἐστι τῶν ἄλλων κριτὴς καὶ μᾶλλον αὐτὸς δεόμενος θεραπείας καὶ διακρίσεως.

33) Ὁ τῷ πτερῷ τῆς οἰήσεως ἐπαιρόμενος τῶν πραγμάτων ἐπιστάντων ταχύτερον τῶν ἐποχουμένων πτερῶν τῷ ἀέρι ἐλέγχεται καταπίπτων.

34) Οἱ δαπανῶντες εἰς ἀναξίους, δι' ὧν ἐχρῆν θεραπεύεσθαι τοὺς ἀξίους, τρισὶν ἀτόποις ἑαυτοὺς ἐνόχους ἀποφαίνουσιν· ἐζημίωσαν ἑαυτούς, ἐνύβρισαν τοὺς χρηστούς, τοὺς φαύλους ἐνίσχυσαν ὕλην εἰς τὸ ἁμαρτάνειν χορηγήσαντες.

35) Δύναμις μετὰ μὲν σοφίας κραταιὸν τοῦ ἔχοντος ὀχύρωμα, ἄνευ δὲ ταύτης ὀξὺ βέλος ἐστὶν ὀξυτέραν ἐπάγον τὴν ἀπώλειαν.

36) Λογισμοὺς ἀπρεπεῖς ἐπελθεῖν μὲν οὐκ ἐμόν, παρόντας δὲ μὴ κατασχεῖν ἐμόν, κατασχόντα δὲ καὶ συγκατανεῦσαι τῆς ἐμῆς ῥᾳθυμίας, τὸ δὲ καὶ πρὸς ἔργον τὸ τοῦ πάθους εἴδωλον ἐξενεγκεῖν τῆς παντελοῦς ἀμελείας ἐμῆς, οἶμαι, καὶ τῆς μελλούσης ἀνταποδόσεως βαθεῖα λήθη.

37) Πένησιν ἐπαρκεῖν ὀφείλομεν· ὁ τοῦ ἐλέου λόγος ἐκδιδάσκει· τοῖς δὲ

---

29) in mg. **M**: ὡραῖον (per comp.) ‖ ὑποσμύχουσα] ὑποσμήχουσα **V** ‖ ἀνερρίπισε] ἀνερρήπισε **M**.

30) εἰσιν] εἰσὶν **V** ‖ ἰδέαι] εἰδέαι **M** ‖ τεχνίτην] τεχνήτην **M** ‖ ὑποπλασμὸς accedat Thesauro ‖ κατ' αὐτῶν (inc. f. 30^{v} V)] κατὰ τῶν **M** ‖ αυτὰ **V** ‖ ἰαματα **M**.

31) om. **V** ‖ (τῶι **M**) ‖ σημεῖον ἐστὶν **M**.

32) καθαρεύῃ] καθαρεύσῃ **V** ‖ τὲ **V** ‖ κριτὴς] κρητὴς **M**.

33) (τῶι **M**) ‖ ἐλεγχεται **M**.

34) ἀποφαίνουσιν] ἐναποφαίνουσιν **V** ‖ τοὺς φαύλους ἐνίσχυσαν malim]: καὶ τοὺς φαύλουν ἐνίσχυσαν ‖ εἰς τὸ om. **M**.

35) inc. f. 31^{r} (V).

36) cum 35 in unam eclogam contrahit **V** ‖ (βαιθυμίας **M**) ‖ οἶμαι] οἶμοι **M** ‖ βαθειας ‖ λήθη] λήθει **M**.

37) om. **V** ‖ ἐπαρκειν **M** ‖ διπλὴν **M**.

καὶ γένει προσήκουσι διπλῆν ἀπαιτεῖ τὴν καταβολὴν τῆς εὐεργεσίας, μίαν μὲν τὸ κοινὸν χρέος τῆς φύσεως διαλύουσαν, ἑτέραν δέ, ἥτις τὸ ὄφλημα ἀποδίδωσι τῷ πλησιάζοντι αἵματι.

38) Λοίδορος γλῶσσα μᾶλλον ἑαυτὴν εἰς τὸν τῆς ἀπωλείας βυθὸν κατασύρει ἢ οὓς τῶν ἐπαίνων ἐπεχείρησε καθέλκειν.

39) Προσβολὰς ἐμπαθῶν λογισμῶν διαφυγεῖν μὲν ἀδύνατον, ἐπιστάσας δὲ μὴ περιθάλπειν οὐκ ἀδύνατον· ἀμελούμεναι δὲ καὶ περιορώμεναι θᾶττον οἴχονται, οἱ δὲ ἀπὸ τοῦ θάλπειν ταύτας καὶ εἰς ἔργον προβάλλοντες δηλονότι κατὰ τῆς ἰδίας σωτηρίας αὐτοὶ μᾶλλον ἢ τὰ πάθη ἐξωπλίσαντο.

40) Τὰ μὲν πρόδηλα τῶν ἁμαρτημάτων ἐκκοπῆς μόνης δεῖται, τὰ δὲ ἀμφίβολα διακρίσεως· ἄμεινον δὲ μηδὲ τούτων τῆς συνηθείας ἀνέχεσθαι· ὁδὸν γὰρ οὐκ ὀλιγάκις ταῦτα πρὸς τὰ χείρω πλατεῖαν ἀνέτεμεν.

41) Ἡ ταπείνωσις θεμελιός ἐστι τῶν ἀρετῶν· ὅσοι δὲ ταύτην κρηπῖδα μὴ ὑπεβάλλοντο, θᾶττον καταπίπτουσι πονηροῦ πνεύματος αὐτοῖς ἐπιπνεύσαντος.

42) Οὐχ ἡ πρὸς τὸ κρεῖττον μετάθεσις αἰσχρόν, ἀλλ' ἡ ἐν τῷ χείρονι διαμονὴ αἰσχρὸν καὶ ψυχῆς ἀθάνατος τιμωρία.

43) Φόβος μὲν τὰς τῆς ψυχῆς ὁρμὰς συνάγει, θάρσος δὲ διαλύει· καὶ λύπη μὲν συστέλλει, ἡδονὴ δὲ διάχυσιν ἐπιφέρει· καὶ θυμὸς μὲν ἀγριαίνει, ἐπιθυμία δὲ θορυβεῖ· καὶ τήκει μὲν φθόνος, μετεωρίζει δὲ λογισμῶν κουφότης· πῶς οὖν χρὴ τῶν παθῶν τὰ τοιαῦτα πάσῃ μηχανῇ φεύγειν, ἵνα τὰ ἄλλα ἐάσω, ἐν οἷς οὐκ ἔστιν οὐδ' ἐπ' ὀλίγον ἠρεμεῖν οὐδὲ κατὰ φύσιν ἔχειν ἀναστρεφόμενον;

44) Πλοῦτος ἀφορῶν πρὸς αὐτάρκειαν πλούσιον ἀληθῶς ἀποφαίνει τὸν ἔχοντα· ἂν δὲ προσθήκην ἐπὶ προσθήκῃ ζητῶν οὐ λήγῃ, ἐσχάτη καὶ ἀκόρεστος πενία· παμπόλλων γὰρ ἐνδεῆ ποιεῖ τὸν φιλόπλουτον.

45) Ἑτέρων ἡγεῖσθαι καὶ ἄρχειν φέρει μὲν κέρδη μεγάλα, οὐκ ἐλάττους δὲ τὰς ζημίας· ψυχὴν γὰρ ὁ σώσας ὡς ὁ κτίσας, ἀλλὰ καὶ ὁ σκανδαλίζων ἕνα τῶν μικρῶν τοῦ δεθέντος ὀνικῷ μύλῳ κατὰ τὸν τράχηλον καὶ καταποντισθέντος χαλεπωτέραν ὑφίσταται τὴν ποινήν· ὁ δὲ καὶ προσαπολέσας τὸν ὁδηγούμενον τίνα διδοὺς τιμωρίαν τὴν ἀξίαν ἀποτίσει; διόπερ εὐλαβητέον λίαν ἀναδέχεσθαι τὴν τῶν πλησίον προστασίαν.

---

38 et 39) om. V.

40) μόνης inc. f. 22^{r} in M, qui f. 22 falso ante f. 21 conlocat; cf. ad n. 70 ‖ μὴ δὲ MV ‖ ἀνέτεμεν] ἀνέτεμον M.

41) θεμέλιος ἐστὶ M ‖ κρηπίδα MV ‖ ὑπεβάλλοντο] ὑπερβάλλοντο M ‖ θάττον (sic) inc. f. 31^{v} (V).

42) κρεῖττον] acc. m. rec. M ‖ χείρονι] χείρωνι V.

43) διάχυσιν] διάθεσιν V ‖ θορυβεῖ V ‖ λογισμῶν] λογισμὸν V ‖ τὰ ἄλλα] τὸ ἄλλο V ‖ ἔστιν spir. m. rec. M ‖ οὐδ' ἐπ' ὀλίγον] οὐδὲ πρὸς ὀλίγον V ‖ ἐπόλίγον M (alterum spiritum m. rec. adiecit) ‖ καταφύσιν M.

44) om. V.

45) om. V ‖ ἀξιαν M ‖ πλησίον] πλησίων M.

46) Ἐνενόησέ τις τὸ κακόν, συγκατέθετο τοῖς λογισμοῖς, προήγαγε διὰ χειλέων, κατεσύρη πρὸς τὴν πρᾶξιν· ταῦτά ἐστι τὰ τῆς ἀπωλείας τέσσαρα στοιχεῖα.

47) Ἡ πρὸς τοὺς φαύλους βεβαιότης τῆς ὅλης ἐστὶ τῶν ἠθῶν εὐσταθείας σημεῖον· διὸ χρὴ πρότερον δοκιμάσαντα οὕτω συνάπτειν φιλίαν· μετὰ γὰρ τὸ κτήσασθαι φίλον ἀνάγκη φέρειν τὰ βάρη, ὅσα μὴ ψυχὴν καθέλκει, καὶ μὴ διίστασθαι τῆς συναφείας· ἀγνοούμενος γὰρ τοῖς πολλοῖς ὁ τῆς διαστάσεως αἴτιος κοινὴν κατηγορίαν ἀμφοῖν, πολλάκις δὲ καὶ τοῦ ἀναιτίου μᾶλλον ἢ τοῦ αἰτίου εἴωθε ποιεῖσθαι.

48) Δύο χείμαῤῥοι τὸν ἀνθρώπινον περιῤῥέουσι βίον· ὁ μὲν διὰ τῶν δοκούντων ῥέων δεξιῶν, ὁ δὲ διὰ τῶν ἀριστερῶν· ὁ μὲν λύπας, φόβους, πενίαν, νόσον, ἀδοξίαν, ψόγους καὶ τὰ ὅμοια συνεπαγόμενος, ὁ δὲ πλοῦτον, ἡδονάς, θάρσος, δόξαν, ὑγείαν, ἐπαίνους καὶ τὰ παραπλήσια· ῥέουσι δὲ ὅμως ἑκάτερος καὶ στάσιν οὐδέτερος αὐτῶν οὐδεμίαν ἔχει· τί οὖν με δεῖ τοῖς παρερχομένοις καὶ οὐχ ἑστῶσι μέγα φρονεῖν, ἢ πρὸς ἀμηχανίας βυθόν, ἐπειδὰν ἐπιῤῥέῃ τὰ ἐναντία, καθέλκειν ἑαυτόν, ἀλλὰ μὴ πρὸς μόνα βλέπειν τὰ διαμένοντα, τῶν δ' ἄλλων παροῦσαν τὸ ῥεῦμα, ὅποι καὶ βούλοιτο φέρεσθαι;

49) Ἀργία σώματος ὑποκλέπτειν φιλεῖ καὶ τὸν νοῦν πρὸς τὴν ὁμοίαν διάθεσιν, ἡ δὲ τῶν σωτηρίων ἠρεμοῦσα κινημάτων φαντασίαις ἀλλοκότοις καταλαμβάνεται, καὶ μόλις αὐτῶν ἀπαλλάττεται τύποις καὶ μορφαῖς τῶν χρηστῶν ἔργων καὶ θεωρημάτων ἀντεγγραφομένη καὶ ἀναζωγραφουμένη.

50) Ὁ χάριν παρασχὼν ἐπὶ τῷ τὴν ἴσην λαβεῖν, οὐ χάριν ἔδωκεν, ἀλλὰ ταύτης κάπηλος γέγονεν· ὁ δὲ λαβών, εἰ μὴ ἀμείψασθαι ζητεῖ, ἀγνώμων τε καὶ τῆς χάριτος ὑβριστὴς ἀνάξιος.

51) Ὅστις κακῶς ἑτέρους κατάρχεται λέγειν, οὗτος ἑαυτῷ ἀῤῥαβῶνα προκαταβάλλεται κακῶς ἀκούειν, ὁ δὲ κακῶς λεγόντων ἑτέρων ἀνεχόμενος κἀκείνων τῇ σιωπῇ τὴν κακολογίαν ἐπιστομίζει καί ἑαυτὸν ἀντὶ τοῦ κακῶς ἀκούειν εὐφημεῖσθαι παρασκευάζει.

52) Ὃς τοὺς ἐνδεεῖς καὶ πενομένους παρορῶν τρυφᾷ, πλουτεῖ, μεθύει μέθην τῆς ἀπληστίας, ἀνάξιον ἑαυτὸν θείας εὐμενείας εἰργάσατο.

---

46) ἐνενόησέ] ἐνόησέ V || τὸ om. V || ταῦτα ἐστὶ M.

47) om. V || συνάπτειν φιλίαν] συνάπτειν εἰς φιλίαν M.

48) inc. f. 32^{r} (V) || χείμαῤῥοι] χείμαροι M || τῶν ἀνθρωπίνων V || βίων V || ψογους V || οὐδέτερος αὐτῶν] αὐτῶν οὐδ' ἕτερος V || οὐδὲ μίαν M || ἐπειδ'ὰν M || ἐπιῤῥέῃ] ἐπιρρῇ M, ἐπιροὴ V || διαμένοντα] μένοντα V || παρ'ὁρᾶν V || ῥεῦμα] ῥῆμα M || φέρεσθαι] ῥέπεσθαι M.

49) om. M || ἀλλοκότοις] ἀλλοκότως in apographo legi adserit H || ἀπαλλάττεται inc. f. 32^{v} (V).

50) om. M || τὲ V (et H).

51) om. M.

52) om. M || παροῶν V.

53) Ἡ ἀνταπόδοσις τοῦ κακοῦ ἐν πέντε τισὶν εἴωθε θεωρεῖσθαι· ἐν γλώσσῃ, ἐν τῇ σκυθρωπότητι τοῦ προσώπου, ἐν τῇ ἀποστροφῇ τῆς ἐντυχίας, ἐν ζημίᾳ τῆς περιουσίας, ἐν τῇ τῶν χειρῶν βίᾳ· ἐπεὶ καὶ ὁ κατάρχων κακώσεως διὰ τῶν πέντε προσάγεται τούτων· ἢ γὰρ βλασφήμως εἶπεν, ἢ δέον χαριεντίσασθαι σκυθρωπὸν ἤνεγκε βλέμμα, ἢ τῶν μηδὲν αὐτῷ προσηκόντων ἀντελάβετο, ἢ χεῖρας ὑβριζούσας ἐπανέτεινεν· ἀλλὰ τὰ μὲν ῥεύματα ταῦτα διὰ τοσούτων ῥέουσιν ὀχετῶν, μία δὲ ἡ ἐν τῇ καρδίᾳ θολερὰ πηγὴ ταῦτα προφέρεται.

54) Ὅρκον καὶ δοῦναι καὶ λαβεῖν τῶν ἠθῶν ἐστι μεγίστη κατηγορία· ὤρκισας τὸν φίλον, ἄπιστον εὐθὺς ἔδειξας τὸν παρασχόντα, ὡς τῆς αὐτοῦ γνώμης ἐγγυήσασθαι τὴν πίστιν ἀδυνατούσης· ἀλλὰ σὺ ἑτέρῳ ὤμοσας, ἔδειξας καὶ σαυτὸν χωρὶς ὅρκου πίστεως ἐνδεῆ, καὶ εἰς τὴν αὐτὴν φαυλότητα καὶ κακίαν τὸ ἔργον ἀμφοτέροις περιετράπη.

55) Τὸ ψεῦδος νόσος ἐστὶ μᾶλλον τοῦ λέγοντος ἢ ἀπάτη τοῦ ἀκούοντος.

56) Ὅστις ὀρθῶς οἶδεν ἄρχειν ἑαυτοῦ, ἐπιτήδειός ἐστιν οὗτος καὶ ἑτέρων ἄρχειν· ὅστις δὲ ἀνδράποδόν ἐστι παθῶν, πῶς ἂν ἄρχειν ἄξιος κριθείη; λαβὼν γὰρ τὴν ἀρχὴν συναιχμαλώτους μᾶλλον ἢ ἀρχομένους τούτους ἀποδείξει.

57) Ἐμόλυνας τὴν γλῶσσαν τὸν πλησίον λοιδορησάμενος, εὐλόγησον ἀπὸ καρδίας, ἵνα τοῖς ἔνδον καὶ τὰ χείλη συναποκαθαράμενος τὴν διαβολὴν ἀπαλείψῃς τῆς εὐφημίας τοῖς ῥήμασι.

58) Κακὸν ἡ ἁμαρτία, χεῖρον δὲ ἡ περὶ αὐτὴν ἀναισχυντία· τὴν γὰρ θεραπείαν οὐ μόνον ἀπὸ τῶν ἔργων, ἀλλὰ καὶ ἐξ αὐτῶν ἀπελαύνει τῶν ἐλπίδων.

59) Ὥσπερ τῇ ἀρετῇ πολέμιον ἡ κακία, οὕτω τοὺς σπουδαίους οἱ φαῦλοι μισεῖσθαι καὶ ἀπεχθάνεσθαι ζητοῦσιν.

60) Συνεχῶς ἁμαρτάνων ἄνθρωπος τὰς τῆς μετανοίας ὁδοὺς μεγάλοις τείχεσιν ἑαυτῷ ἀποφράσσει.

61) Ἔνθα πλέον ἡ ἐπιβουλή, ἐκεῖ μᾶλλον ἡ χρεία τῆς φυλακῆς· τὰ γὰρ ἐπὶ πλέον πολιορκούμενα πλείονος δεῖται καὶ τῆς προνοίας.

62) Μαθεῖν μὲν ἐκ τοῦ παθεῖν καὶ τῶν πάντη ἐστὶν ἀμαθῶν, μαθεῖν δὲ καὶ χωρὶς τοῦ παθεῖν τῶν φρονίμων.

---

53) inc. f. 33^{r} (V) ‖ γλώσσῃ] γνώσει V ‖ ταῦτα om. V ‖ ἡ om. V ‖ θολερὰ πηγὴ] θολερᾷ πηγῇ V.

54) in mg. M: σημείωσον (per scripturae compendium) ‖ ὤρκισας M ‖ ἄπιστον] ὁ ἄπιστον V, ubi nova sectio initium sumit ‖ καὶ κακίαν] κακίαν V.

55) inc. f. 22^{v} (M) et f. 33^{v} (V) ‖ ἐστι M.

57) γλώσσαν MV ‖ συναποκαθαράμενος] συναποκαθηράμενος V, συναποκαθηρμένος ex coniectura edidit Hergenroether, qui καθηραμένος ex apographo enotavit.

58) χεῖρον] χειρον M, χείρων V ‖ ἀπὸ] ὑπὸ M.

59) om. V ‖ (τῇ M) ‖ μισεῖσθαι] μισεῖν M.

60) ὁδοὺς inc. f. 34^{r} (V) ‖ ἀποφράσσει] ἀποφράσει V.

61) om. V.

62) in mg. M (per comp.): σημείωσον· ὡραῖον.

63) Οὐ δεῖ τὸν τὰ κοινὰ πράττοντα ἐν τῷ μὴ πᾶσιν ἀρέσκειν δυσχεραίνειν, ἀλλὰ τοὺς ἐπαινοῦντας τοῖς κακῶς λέγουσι παραβάλλοντα ψυχαγωγεῖν ἑαυτὸν καὶ ἐπὶ τῆς αὐτῆς προαιρέσεως, ἂν μάλιστα πρὸς τὸ καλὸν ἀφορᾷ, διαμένειν, τῷ δὲ λίαν τὰς διαβολὰς καὶ δυσαρεστήσεις εὐλαβουμένῳ ἢ φοβουμένῳ κρεῖσσων ἡ πρὸς τὸ ἀπραγμονέστερον μεταβολὴ τῆς πολιτείας καὶ ὁ ἰδιώτης βίος.

64) Πύλαι μάλιστά εἰσι τῆς ψυχῆς τὰ ὄμματα καὶ αἱ ἀκοαί· ἂν ταύτας τις ὀρθῶς καὶ κατὰ καιρὸν ἀνοίγειν καὶ κλείειν μελετήσῃ καὶ μάθῃ, οὔτε θεαμάτων ἀκολάστων οὔτε παραπλησίων ἀκουσμάτων γοητεύματα, ἀλλ' οὐδὲ οἱ πικροὶ καὶ ἀπαραίτητοι τῆς φύσεως λῃσταὶ καὶ πολέμιοι εὑρήσουσιν ἐκ τοῦ εὐκόλου πάροδον ἐν τῇ ψυχῇ.

65) Φρόνιμον εἶναι τῆς φύσεώς ἐστι μᾶλλον προβολή· ὁ δὲ μὴ τῆς εὐκληρίας ταύτης διὰ γενέσεως τυχών, μελέτῃ πράξεων παλαιῶν καὶ τῇ κατὰ τὸν παρόντα βίον ἐμπειρίᾳ ἔγγιστα τῆς ἐμφύτου γίνεται πλεονεξίας, καὶ πολλοὶ πολλάκις ἐκράτησαν τῇ μελέτῃ τῶν ἐπὶ μόνῃ τῇ φύσει τεθαρρηκότων.

66) Ἄρχει μὲν τοῦ σώματος καὶ ἡνιοχεῖ κατὰ φύσιν ἡ ψυχὴ καθάπερ ἡνίοχος τοὺς ἵππους καὶ ὁ κυβερνήτης τὴν ναῦν καὶ ὁ στρατηγὸς τὸν στρατόν· ἂν δὲ εἰς τὸ ἐναντίον ἡ τάξις περιτραπῇ καὶ φιλονεικήσῃ τὸ σῶμα, κατεξαναστῆναι τῆς ψυχῆς καὶ φέρειν αὐτὴν πρὸς τὰ οἰκεῖα σκιρτήματα, εἰς τὴν ἴσην ἀπώλειαν καταλήγει, εἰς ἣν καταστρέφουσι τὸν ἡνίοχον ἀποβαλόντες οἱ ἵπποι καὶ ἡ ναῦς τὸν κυβερνήτην καὶ οἱ στρατιῶται τὸν στρατηγόν, αὐτοὶ στρατηγεῖν καὶ κυβερνᾶν καὶ ἡνιοχεῖν ἐπιχειρήσαντες.

67) Φιλάνθρωπον μὲν διδόναι μὴ λαμβάνοντα, ἀνθρώπινον δὲ ἀπολαμβάνοντα, μισάνθρωπον δὲ καὶ τόκους ἀπαιτεῖν.

68) Παρ' οἷς τὰ δῶρα πλέον ἰσχύει τοῦ δικαίου, μεγάλην ἐν τούτοις ἔχει ἡ ἀδικία καὶ πλεονεξία τὴν παῤῥησίαν.

69) Αἱ χελῶναι καὶ οἱ ὄφεις καὶ πολλὰ τῶν ὀστρακοδέρμων τεταγμένοις μὲν καιροῖς τὸ ἔνδυμα ἀποδύονται, μένουσι δὲ ὅμως ὅπερ ἦσαν· οὕτω δὲ καὶ οἱ πονηροὶ τῶν ἀνθρώπων ἐν ταῖς περιστάσεσι καὶ ταῖς χρείαις τὸ προφανὲς τῆς κακουργίας ἀποδυόμενοι φυλάττουσιν ἀσφαλῶς ἔνδον τὴν οἰκείαν γνώμην, καὶ τῶν πειρασμῶν ἢ τῆς χρείας παρελθούσης τὴν προτέραν κακίαν πάλιν ἐπιδείκνυνται.

---

63) om. V ‖ (τῶι M) ‖ ἑαυτον M ‖ αφορᾶ M ‖ (τῶι M) ‖ τῆς πολιτείας equidem ante κρεισσων—μεταβολὴ conlocaverim ‖ ἰδιώτης] ἰδιότης M.

64) μάλιστα εἰσὶ M ‖ αἱ om. V ‖ τὶς M ‖ κατακαιρὸν M.

65) om. V ‖ φυσεώς M ‖ (τῆι M) ‖ (τῆι M) ‖ φυσει M.

66) ταξις M ‖ κατεξαναστῆναι] κατεπαναστῆναι M ‖ σκιρτήματα inc. f. 34^{v} (V).

67) μὲν διδόναι] διδόναι μὲν MV.

68) om. V.

69) αἱ V (etiam H) ‖ inter ὀστρακοδέρμων et τεταγμένοις vox quaedam erasa est in M ‖ οὕτω] οὕτως V.

70) Κρεῖσσόν ἐστι βραδέως ὑποσχόμενον ταχέως τὴν ἐπαγγελίαν πληρῶσαι ἢ ταχὺ ἐπαγγειλάμενον βραδὺν ὀφθῆναι περὶ τὴν δόσιν· τὸ μὲν γὰρ κρίσεώς ἐστιν ἐστηριγμένης καὶ γνώμης βεβαίας, τὸ δὲ διαθέσεως ὀξυτάτης καὶ εὐμεταβόλου καὶ μὴ λογισμῷ κυβερνωμένης· κράτιστον δὲ μηδὲ βραδέως τῷ αἰτοῦντι κατανεῦσαι καὶ συγκαταβαλεῖν τῇ ἐπινεύσει τὴν χάριν.

71) Ἄνδρα σοφὸν εὑρεῖν μὲν οὐ ῥᾴδιον, εὑρόντα δὲ στέρξαι πάντως ἀδύνατον· τὸ γὰρ πλῆθος τοῖς ὁμοίοις χαίρει μᾶλλον ἢπερ τῷ ὑπερέχοντι, ἔλεγχον ἡγούμενοι τῆς οἰκείας ἀπαιδευσίας τὴν ἐκείνου σοφίαν, καὶ ἅμα ὁ φθόνος ὀξὺς αὐτοῖς καὶ δεινὸς γίνεται στρατηγὸς τοῦ κατ' αὐτοῦ μίσους.

72) Ἑνὸς ἀνδρὸς σοφοῦ συμβουλὴ πολλῶν χρημάτων δυνατωτέρα, καὶ γνώμη μία κατὰ καιρὸν εἰσαγομένη πολλῶν ἀνδρείων χειρῶν πολλάκις ὤφθη ἐπικρατεστέρα.

73) Οἱ τοὺς ἀναξίους ἀναβιβάζοντες εἰς τὰς μηδὲν αὐτοῖς προσηκούσας τιμὰς οὐκ ἐκείνους μᾶλλον τιμῶσιν, ἀλλ' ἑαυτοὺς πρὸ τῶν ἄλλων ἀτιμάζουσι· καὶ μὴν καὶ οἱ τοὺς ἀξίους τιμῆς κακίζοντες ἑαυτῶν μὲν τὴν κρίσιν φαυλίζουσι, τὴν δὲ δόξαν τῶν ἀτιμωθέντων οὐκ ἴσχυναν· τιμᾷ γὰρ τοῖς οἰκείοις τρόποις καὶ τὴν ἀδοξίαν ὁ σπουδαῖος, ὥσπερ τὴν τιμὴν ὁ ἀπαίδευτος εἰς ἀτιμίαν καταστρέφει.

74) Τὸ τοῦ πλησίον παράπτωμα τοῖς μὲν συνετοῖς ἀσφάλεια γίνεται τοῦ μὴ τοῖς ὁμοίοις περιπεσεῖν, τοῖς δὲ ἀπαιδεύτοις μίμημα καὶ παράδειγμα καὶ τῆς ἀνοίας ἔλεγχος.

75) Χαιρεκάκου καὶ μισανθρώπου γνώμης ἐστὶ τὸ ὀνειδίσαι συμφορὰν τῷ πλησίον· ἀλγεινοτέραν γὰρ μᾶλλον ἐπάγει τὴν τοῦ πάθους ὀδύνην· τοῦ καλοῦ δὲ ἀσφαλίσασθαι μᾶλλον τὰ καθ' ἑαυτὸν ἕκαστον, συναλγοῦντα μᾶλλον, ἀλλ' οὐκ ἐπεμβαίνοντα πειρασμοῖς ταλαιπωρουμένῳ τῷ πλησίον.

76) Ἡ πενία διδάσκαλός ἐστιν ὡς ἐπὶ πολὺ σωφροσύνης καὶ ἐγκρατείας, ὥσπερ ἀκρασίας καὶ ἀκολασίας ὁ πλοῦτος.

77) Ἡ πλησμονὴ τῶν σιτίων τὰς νόσους, ἡ δὲ αὐτάρκεια τὴν ὑγείαν φιλεῖ ἀποτίκτειν· καὶ γὰρ ἡ μὲν ἀναπλήρωσίς ἐστι τῆς χρείας, ἡ δὲ βαρύνει καὶ πιέζει τὸ σῶμα τῇ παρὰ μέτρον προσθήκῃ.

78) Ἔστι <καλὸν> καὶ ψεῦδος ἀληθείας χάριν προβαλλόμενον, ὅταν μὴ βλάπτον τὸν λέγοντα τοῖς ἀκροαταῖς ὄφελος γίνηται.

---

70) κρεῖσσον ἐστὶ MV || f. 21[r] (post f. 22[v] cf. ad n. 40) inc. (ὀ)φθῆναι (M) || κρίσεως ἐστὶν MV || διαθέσεως] καὶ διαθέσεως M || μηλογισμῶ M || μὴ δὲ M || (τῶι M) || (τῆι M).

71) om. V || πάντως] πάντας M || τῷ ὑπερέχοντι] τοῖς ὑπερέχουσιν M || κατ' αυτοῦ M.

72) ἐπικρατεστέρα] ἐπικρατέστερον M.

73) om. V || ἴσχυναν spir. m. rec. M.

75) inc. f. 35[v] (V) || γνώμης] γνώμη M || τὸ] τῶ M || (τῶι M), τοῦ V || τοῦ καλοῦ] τὸ καλὸν M; fortasse καλὸν sufficiet || καθεαυτὸν M || επεμβαίνοντα M.

77) τῆς χρείας] τῇ χρείᾳ perperam corrigebat H.

78) καλὸν] om. MV || ὅτ ἂν M || γίνηται] γένηται V.

79) Ἀγαθὴ φήμη θησαυρῶν πολυταλάντων πλουσιωτέρα· τοὺς μὲν γὰρ καὶ λῃστῶν ἂν διαρπάσαιεν χεῖρες καὶ φθόνος καὶ ὀργὴ βασιλέως, τὴν δὲ οὐκ ἔστιν ὅστις ἐπιχειρῶν συλῆσαι μὴ οὐχὶ μᾶλλον ἐποίησε περιφανεστέραν.

80) Ὥσπερ φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί, οὕτω μεταβάλλουσιν ἤθη πονηρὰ ὁμιλίαι σπουδαίων ἀνδρῶν· διὸ χρὴ τῶν μὲν φεύγειν, τῶν δὲ διώκειν τὴν μίμησιν τῶν ἠθῶν καὶ τὴν ἐν λόγοις συνουσίαν.

81) Ἀθρόον τὸ δεινὸν προσπεσὸν καὶ τῶν φρονημάτων τὰ γενναιότερα καταπλήττει τε καὶ συστέλλει, χρόνῳ δὲ καὶ προσδοκίᾳ διαπραΰνεται· ὃν τρόπον εἴωθε καὶ τὰ συνήθη τῶν ἀσυνήθων κουφοτέραν τῶν ἀλγεινῶν τὴν συναίσθησιν φέρειν.

82) Ἄνδρα, ὥσπερ ἡ ἀρχή, οὕτω καὶ τὸ ἄρχεσθαι δεικνύει· δοκιμασία γάρ ἐστιν ἑκάτερον καὶ γνώμης καὶ ἠθῶν, καὶ ἡ μὲν ἐν τῷ ἐξουσιάζειν, τὸ δὲ ἐν τῷ ἐξουσιάζεσθαι παρέχεται τὴν πεῖραν.

83) Ὥσπερ τὰ τῶν ἀρχομένων κατορθώματα τὴν τοῦ ἄρχοντος ἀπαγγέλλει πρόνοιαν, οὕτω καὶ τὰ ἁμαρτήματα εἰς τὸ ἐναντίον ὡς ἐπίπαν τὴν ἐκείνου γνώμην περιτρέπει, ῥᾳθυμίαν αὐτοῦ κατηγοροῦντα τῶν ἀρχομένων καὶ ἀμέλειαν.

84) Βίος ἄλυπος ψυχῆς ὡς ἐπίπαν ναυάγιον, ὥσπερ ὁ λίαν ἐπώδυνος θανάτου προπύλαιον· ὁ δὲ κατὰ φύσιν καὶ ἀνθρώπινος νῦν μὲν ἀνίεται, νῦν δὲ ἐπιτείνεται, χαρμοναῖς καὶ λύπαις παρὰ μέρος ποικιλλόμενος· ἄνθρωπος τοίνυν ὁ φρονῶν ἀνθρώπινα οὔτε τῶν ἀλγεινῶν ἐπιζητήσει τὸ ἀδιάδοχον οὔτε τὸ παντελῶς ἄλυπον εὑρεῖν ἐλπίσει· ἀμφότερα γὰρ ἀνθρωπίνης φύσεως ὑπερόρια.

85) Τὸν Ἰωσὴφ ὁ τῶν ἀδελφῶν φθόνος Αἰγύπτου κατέστησε βασιλέα· ᾔδει γὰρ καὶ τὸν φθόνον ὑπόθεσιν ποιεῖσθαι φιλοσοφίας, ὥσπερ καὶ τὴν τοῦ γυναίου ἀκολασίαν γυμνάσιον ἀρετῆς ἔδειξε καὶ σωφροσύνης· οὐκοῦν οὐ τὸ φθονεῖσθαι βλαβερόν, ἀλλὰ τὸ μὴ σπουδάζειν φιλοσοφίας ποιεῖσθαι τὸν φθόνον ἀφορμήν.

86) Οὐ χρὴ τὸν καλὸν κἀγαθὸν τὰς τῶν φαύλων πράξεις ἐκτρέπεσθαι μόνον, ἀλλὰ καὶ τὴν στολὴν καὶ τοὺς λόγους καὶ τὰ σχήματα· ὁ δὲ μὴ τοῦτο

---

79) θησαυρῶν] ἀγαθῶν V ‖ πλουσιωτέρα] τιμιωτέρα V, rectius ut videtur ‖ διαρπάσαιεν] διαρπάσωσι MV ‖ χεῖρες] χεῖρας M ‖ τὴν inc. f. 36^{r} (V).

80) κακαί, οὕτω μεταβάλλουσιν ἤθη πονηρὰ ὁμιλίαι om. M.

81) om. V ‖ in mg. M: ὡραῖον (per comp.) ‖ δεινον M ‖ τὲ M.

82) πείραν MV.

83) om. V ‖ in mg. M: ὡραῖον (per scripturae compendium).

84) inde a voce ἄνθρωπος V novam sectionem inchoat ‖ ἀμφότερα γὰρ ἀνθρωπίνης φύσεως] ἀνθρωπίνης γὰρ φύσεως ἀμφότερα V.

85) inc. f. 36 (V) ‖ γυμνάσιον inc. f. 21^{v} (M) ‖ οὐκ οὖν M.

86) κἀγαθὸν] καὶ ἀγαθὸν M ‖ (αὐτῶι M).

ποιῶν διὰ τῶν ἔξωθεν περιέργων σχημάτων τὴν μηδὲν αὐτῷ προσήκουσαν φαύλην ὑπόληψιν εἰδωλοποιεῖ.

87) Καὶ γέλως καὶ δάκρυον καὶ σώματος κίνησις καὶ στάσις καὶ καθέδρα καὶ ὕπνος καὶ ἐγρήγορσις καὶ πρό γε τούτων χαρὰ καὶ λύπη τῶν μὲν συνετῶν καὶ πεπαιδευμένων ἐν τάξει καὶ κατὰ καιρὸν φιλοῦσι προϊέναι, τῶν δὲ ἀμαθῶν καὶ ἀσυνέτων οὐδὲ ταῦτα κατὰ τὸν ὀρθὸν προέρχεται λόγον· διὸ χρὴ καὶ τῆς τούτων εὐταξίας καὶ εὐκοσμίας προνοεῖσθαι· κήρυκες γάρ εἰσιν ἀψευδεῖς καὶ ταῦτα τοῦ ἤθους καὶ τῆς κατὰ ψυχὴν διαθέσεως.

88) Μεγαλοψύχου μὲν καὶ μεγαλόφρονος ἀνδρὸς οὐδὲ λόγοις ἐπεξελθεῖν τὸν τῆς ὕβρεως ἄρξαντα, — εἰ δὲ μή, ἀλλά γε πολλῷ μετριωτέροις· ὁ δὲ καὶ πληγὰς ἐπιτιθείς, δευτέρας οὗτος ἦρξεν ἀδικίας καὶ τὰς πρώτας λοιδορίας ἔδειξεν οὐ ψευδομένας.

89) Ὁ ἀλλοτρίαις γυναιξὶν ἐμπαθῶς ἐνατενίζων οὐ κόρας, ἀλλὰ πόρνας τὰς ἐν τοῖς ὀφθαλμοῖς κόρας ἔχει.

90) Μὴ ἁμαρτεῖν μὲν ἀνθρώπῳ ἀδύνατον, ἁμαρτεῖν δὲ οὐ χαλεπόν· μὴ πόρρω συγγνώμης· εἰ δὲ καὶ πρὸς τοῦτό τις περιπέσῃ, ἀλλὰ μετανοίᾳ ζητεῖν τὴν διόρθωσιν· τὸ δὲ πρὸς μηδέτερον ἀφορᾶν οὐκ ἀνθρωπείας, ἀλλὰ δαιμονίας ἐστὶ φύσεως ἴδιον.

91) Ὁ λέγων τὰ αἰσχρὰ ἐγγύς ἐστι τοῦ ὑπονοεῖσθαι καὶ πράττειν αὐτά· οὐδὲ γὰρ διέστηκε μακρὰν ἡ γλῶσσα τῶν χειρῶν· ὁ γὰρ μὴ κρατῶν ῥημάτων αἰσχρῶν πῶς ἂν κρατήσειεν ἡδονῶν, τῶν μάλιστα τὰς αἰσθήσεις καταγοητεύειν δυναμένων;

92) Ἀκολασία γλώσσης ἔλεγχος μέν ἐστι τῆς κατὰ διάνοιαν ἀκρασίας, αὐτόματος δὲ καὶ προάγγελος τῶν ὁμοίων ἐπιτηδευμάτων.

93) Φιλοξενίας ὢν Ἀβραὰμ ἐραστὴς ἐν ἀγγέλου μορφῇ τὸν δημιουργὸν ἐξένισε τοῦ παντός· δῆλον οὖν ἐντεῦθεν, ὡς ὁ τὴν φιλοξενίαν ἀθετῶν τὴν μισανθρωπίαν τοῦ δαιμονίου γένους εἰς τὴν ἑαυτοῦ ψυχὴν εἰσοικίζεται.

94) Ὁ τοὺς ἀλλοτρίους πόνους ποιούμενος πρόξοδον, τοὺς οἰκείους ἀῤῥαβωνιζόμενος ἄλλοις οὐκ αἰσθάνεται· εὐμετάτρεπτον γὰρ ἡ ἀδικία καὶ μετὰ τόκου τὴν ζημίαν προξενεῖ τοῖς κατάρξασι.

---

87) τούτων] πάντων V ‖ κατακαιρὸν M ‖ τῶν] ὧν M ‖ γὰρ εἰσὶν V ‖ ταῦτα inc. f. 37ʳ (V).

88) om. V.

90) cum 89 conectit V ‖ μὴ πόρρω συγγνώμης inter περιπέσῃ et ἀλλὰ conlocaverim: verba ἁμαρτεῖν δὲ οὐ χαλεπόν, μὴ πόρρω συγγνώμης falsissime Hergenroether reddidit: 'peccare autem peccato non gravi non est a spe veniae remotum' ‖ τοῦτο τίς MV ‖ τὸδε M ‖ πρὸς μηδ' ἕτερον V, προσμηδὲν ἕτερον M.

91) in mg. lemma ὡραῖον (per comp.) exhibet M ‖ ἐστι τοῦ] ἐστιν MV ‖ γλώσσα V.

92) καὶ om. V.

93) Ἀβραὰμ M (et H).

94) inc. f. 37ᵛ (V) ‖ εὐμετάτρεπτον] εὐμετάστρεπτον M ‖ μετατόκου M ‖ ζημιαν M.

95) Παρ' οἷς ἡ τοῦ κολακεύοντος γνώμη μᾶλλον ἰσχύει τοῦ νουθετοῦντος, οὗτοι τῶν οἰκείων ἡθῶν πρὸ τῶν ἄλλων στηλιτεύουσι τὴν μοχθηρίαν.

96) Οὐδενὶ οὕτω τῶν πάντων ὡς ἐλέῳ Θεὸς θεραπεύεται.

97) Πλούτησον μὴ περιουσίᾳ μόνον, ἀλλὰ καὶ εὐσεβείᾳ, μὴ μόνον τῷ χρυσίῳ, ἀλλὰ καὶ τῇ ἀρετῇ.

98) Γενοῦ τοῦ πλησίον τιμιώτερος ἐκ τοῦ φανῆναι χρηστότερος.

99) Ὁ ἀδικῶν κομιεῖται ὃ ἠδίκησε, καὶ οὐκ ἔστι προσωποληψία.

100) Πλεονεξίας εἶδος τὸ χαλεπώτατον μηδὲ τῶν φθειρομένων μεταδιδόναι τοῖς ἐνδεέσι· τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἐδύνω.

101) Βέλτιον λίθον βαλεῖν εἰκῇ ἢ λόγον.

102) Λάλει ἃ δεῖ καὶ ὅτε δεῖ, καὶ οὐκ ἀκούσεις ἃ μὴ δεῖ.

103) Κρύπτειν τὴν ἀλήθειαν χρυσόν ἐστι θάπτειν.

104) Πολλοί εἰσιν οἱ τὰς πονηρὰς πράξεις ἀποδεχόμενοι καὶ χαρίεντα μὲν τὸν εὐτράπελον λέγοντες, τὸν δὲ αἰσχρολόγον πολιτικόν· τὸν πικρὸν καὶ ὀργίλον ἀκαταφρόνητον ὀνομάζουσι, τὸν φειδωλὸν καὶ ἀκοινώνητον ὡς οἰκονομικὸν ἐπαινοῦσι, τὸν ἄσωτον ἐλευθέριον, τὸν πονηρὸν καὶ ἀσελγῆ ἀπολαυστικὸν καὶ ἀνειμένον, καὶ ἁπλῶς πᾶσαν κακίαν ἐκ τῆς παρακειμένης ἀρετῆς ὑποκορίζονται.

105) Οὐ τὸ ζηλοῦν κακίαν, ἀλλὰ καὶ τὸ τοὺς ἐν αὐτῇ ζῶντας ἐπαινεῖν φέρει τινὰ κόλασιν, οὐ τὴν τυχοῦσαν ἡμῖν, μᾶλλον δὲ αὐτῶν τῶν ἐν πονηρίᾳ ζώντων χαλεπωτέραν· τοῦ γὰρ ἁμαρτάνειν τὸ ἐπαινεῖν τοὺς ἁμαρτάνοντας πολὺ μεῖζόν ἐστιν εἰς κολάσεως λόγον· διεφθαρμένης γάρ ἐστι τοῦτο γνώμης καὶ ψυχῆς νοσούσης ἀνίατα· ὁ γὰρ ἐπαινῶν τὴν πονηρίαν τῆς ἐκ τοῦ μετανοῆσαι θεραπείας ἑαυτὸν ἀπεστέρησεν· ὥστε εἰκότως τοῦτο ἐκείνου χαλεπώτερον.

106) Ἔστι φίλος κοινωνὸς τραπέζης, καὶ οὐ μὴ παραμείνῃ ἐν καιρῷ θλίψεως, καὶ ἐὰν ταπεινωθῇς, ἔσται κατὰ σοῦ.

---

95) om. V ‖ παροῖς M.

96) οὐδενὶ] tacite corr. H: οὐδὲν M, ὐδὲν (sine littera initiali) V ‖ πάντων] ἁπάντων V.

97) cum 96 coniungit M ‖ μόνον] μόνω M (altero loco) ‖ (τῶι χρυσίωι M) ‖ (τῆι M).

98) cum 97 copulant MV (et H) ‖ ἐκ] καὶ ἐκ M.

100) μὴ δὲ MV ‖ τοσούτους] τοσούτοις M (ubi nova sectio initium sumit), τοσούτους γὰρ V.

101) λίθον] λόγον V ‖ εἰκῇ H.

102) ad 101 trahit V ‖ ἃ δεῖ καὶ ὅτε δεῖ] ὅτε δεῖ καὶ ἃ δεῖ V.

103) cum 101 + 102 coniungit V ‖ χρυσὸν ἐστὶ V.

104) πολλοὶ εἰσὶν V ‖ λέγοντες] malim: λέγουσι ‖ αἰσχρολόγον] αἰσχρὸν λόγον V ‖ ὀργίλον MV (et H) ‖ ἀκαταφρόνητον inc. f. 38^{r} (V).

105) οὐ (altero loco)] οὐχὶ V ‖ μᾶλλον inc. f. 23^{r} (M); de foliis duobus (21 et 22) permutatis dixi ad n. 40 et 70 ‖ μεῖζον ἐστὶν MV ‖ λογον M.

106) παραμείνῃ] παραμένῃ V ‖ ἔσται om. V.

107) Ἡ τῶν ἀνθρώπων ἀγάπη εἰς τρία μερίζεται πρόσωπα· ὃς μὲν διὰ Θεὸν ἀγαπᾷ, ὃς δὲ χάριν λήψεως δώρων, ἐπεὶ πλούσιός ἐστιν, ὃν ἀγαπᾷ, ὃς δὲ ἐμπαθῶς· καὶ ὃς μὲν εἰλικρινῶς δοξάζει, ὃν ἀγαπᾷ, ὃς δὲ διὰ πλεονεξίαν, ὃς δὲ χάριν ἡδονῆς.

108) Ἀγαθῷ περὶ οὐδενὸς ἂν γένοιτο φθόνος· ὅθεν εἰκότως οἶμαι τὸν ἀγαθὸν ἀγαθῶν μόνων εἶναι φίλον, τὸν δὲ κακὸν οὔτε τῶν ἀγαθῶν οὔτε τῶν κακῶν.

109) Πατρὸς ἐπιτίμησις ἡδὺ φάρμακον· πλεῖον γὰρ ἔχει τὸ ὠφέλιμον τοῦ δάκνοντος.

110) Τὸ ἔντιμον ἐν γήρᾳ εἶναι ἀπόδειξις τοῦ φιλόπονον πρὸ γήρως γεγονέναι, τὸ δὲ σπουδαῖον ἐν νεότητι πιστευτέον ἐν γήρᾳ ἔντιμον ἔσεσθαι.

111) Οὐ πᾶσα ἐπαινετὴ πτωχεία, ἀλλ' ἡ ἐκ προαιρέσεως κατὰ τὸν εὐαγγελικὸν σκοπὸν κατορθουμένη· πολλοὶ μὲν γὰρ πτωχοὶ τῇ περιουσίᾳ, πλεονεκτικώτατοι δὲ τῇ προαιρέσει τυγχάνουσιν· οὓς οὐχ ἡ ἔνδεια σώζει, ἀλλ' ἡ προαίρεσις κατακρίνει.

112) Ὥσπερ τοῖς μεθύουσιν ἀφορμὴ τοῦ πίνειν ἡ προσθήκη τοῦ οἴνου γίνεται, οὕτω καὶ οἱ νεόπλουτοι πολλὰ κτησάμενοι πλειόνων ἐπιθυμοῦσι τῷ ἀεὶ προστιθεμένῳ τὴν νόσον τρέφοντες, καὶ περιτρέπεται αὐτοῖς ἡ σπουδὴ πρὸς τὸ ἐναντίον· οὐ γὰρ εὐφραίνει τὰ παρόντα τοσαῦτα ὄντα, ὅσον ὀδυνᾷ τὰ ἀλλότρια μὴ αὐτῶν ὄντα.

113) Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων· φεῦγε τοίνυν τὰς μετ' αὐτοῦ διατριβάς· ἀνάγκη γάρ σε μαθεῖν τι τῶν ἐκείνου ὁδῶν· εἶπέ τι ὑβριστικόν, ἐκίνησε καὶ τὸν ἐν σοὶ θυμόν· ὥσπερ κυνὸς ὑλακὴ προκαλεῖται ἑτέρου κυνὸς θόρυβον, καὶ τὸν ἐν σοὶ θυμὸν τέως κοιμώμενον καὶ ἡσυχάζοντα ἡ ἐκείνου φωνὴ διήγειρε, καὶ γεγόνατε ἀλλήλοις ἀνθυλακτοῦντες.

114) Μὴ ἀποδέχου ἐγκράτειαν διωκομένης πραότητος· ὅστις γὰρ βρωμάτων ἢ πομάτων ἀπέχεται, θυμὸν δὲ ἀλόγως κινεῖ, ἔοικεν οὗτος ποντοπορούσῃ νηῒ καὶ ἐχούσῃ δαίμονα κυβερνήτην.

115) Βασιλικῆς ψυχῆς ἀρετὴ μεγαλοψυχία καὶ φιλανθρωπία καὶ δικαιοκρισία καὶ ἐπιείκεια.

116) Οὔτε ἵππος ἐπὶ φάτνῃ γαυριᾷ οὔτε ἀετὸς ἐπὶ καλιᾷ, ἀλλ' ἀμφότεροι

---

107) in mg. M: ὡραῖον ‖ πλούσιος ἐστὶν V ‖ καὶ inc. f. 38^{v} (V) ‖ ὃ]ς ubique habet H (non V) ‖ inter ὃν ἀγαπᾷ et ὃς δὲ V addit: ὃς δὲ ἐμπαθῶς ‖ διαπλεονεξίαν M.

108) (ἀγαθῶι M) ‖ ουδενὸς V ‖ εἶναι φίλον] φίλων εἶναι M.

110) προγήρως M.

111) in duas sententias οὐ — κατορθουμένη et πολλοὶ — κατακρίνει prave dissecat M ‖ (τῆι M) ‖ (τῆι M).

112) αὐτοῖς inc. f. 39^{r} (V) ‖ αὐτῶν] αὐτῶ V.

113) μεταὐτοῦ M ‖ τί MV ‖ εἶπε τί MV ‖ προκαλεῖται] προςκαλεῖται MV.

116) φάτνῃ] φάτνης MV ‖ ταχυτῆτι V.

ἐπὶ ταχύτητι, ὁ μὲν ποδῶν, ὁ δὲ πτερῶν· καὶ σὺ τοίνυν μὴ ἐν τραπέζῃ καὶ περιβολαίοις καὶ εὐπορίᾳ μέγα φρονήσῃς, ἀλλ' ἐπὶ χρηστότητι καὶ εὐποιΐᾳ.

117) Τὸν πολλὰ ὀμνύοντα ὡς τὸν ἐπιορκοῦντα φεῦγε· ἐν γὰρ πολλοῖς ὅρκοις πλεῖσται αἱ ἐπιορκίαι.

118) Ὁ τράπεζαν αὐτάρκη ποιῶν σωφροσύνην παρατίθησι.

119) Κατὰ τὸν κριτὴν τοῦ λαοῦ αὐτοῦ οὕτω καὶ οἱ λειτουργοὶ αὐτοῦ, καὶ κατὰ τὸν ἡγούμενον τῆς πόλεως πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

120) Τὰς τῶν ἀρχόντων εὐπραγίας μᾶλλον ἢ τοὺς ἄρχοντας αὐτοὺς εἰώθασιν οἱ πλεῖστοι θεραπεύειν.

121) Προηγουμένως μὲν αἱ ἀρεταὶ τοῖς ἄρχουσι πρέπουσι καὶ ἁρμόζουσι· τὸ συμπαθητικὸν καὶ φιλάνθρωπον, τὰ καὶ Θεῷ ὑπάρχοντα· εἶτα τὸ ἀμνησίκακον καὶ ἀόργητον, τὸ ἀπροσωπόληπτον, τὸ ἀδωροδόκητον, καὶ πρὸ πάντων τὸ μὴ εὐχερῶς μηδὲ ἀνεξετάστως διαβολαῖς καὶ λοιδορίαις πείθεσθαι· ἀπὸ γὰρ λογοπειθείας πολλοὶ περιπίπτουσι φόνοις ἀδίκοις, ὡςαύτως καὶ ἐξ ἀσπλαγχνίας καὶ μνησικακίας καὶ θυμοῦ καὶ δωροδοκίας· ἐκεῖνος τοίνυν εὐάρεστός ἐστιν ἄρχων Θεῷ, ὁ μηδὲν τῶν τοιούτων παθῶν ἐν ἑαυτῷ κτώμενος.

122) Πάντες οἱ καὶ προσκυνοῦντες καὶ τῶν λεγομένων καὶ πραττομένων ἕκαστα ἐπαινοῦντες ἢ φόβῳ ἢ ἐλπίσι ταῦτα δρῶσι, τῆς ἀρχῆς ὄντες φίλοι καὶ πρὸς τὸν καιρὸν ἀποβλέποντες.

123) Ἡ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια ὁδός ἐστιν ἐπὶ τὰ πράγματα.

124) Αἱ μεγάλαι καὶ ἐπιφανεῖς δόξαι καθάπερ οἱ σφοδροὶ τῶν ἀνέμων μεγάλα ποιοῦσι ναυάγια.

125) Μὴ πᾶσιν ὕπεχε τὰ ὦτά σου λόγοις· λόγος γὰρ κακὸς κακῶν ἔργων ἡγεμών.

126) Οἱ ἀκόλαστοι τὴν γνώμην, μέχρι μὲν αὐτῶν τῷ στόματι τὰ σιτία τυγχάνει, εὐφημοῦσι, κολακεύουσιν, ὑπερθαυμάζουσιν· ὀλίγον δὲ τῆς τραπέζης ὑπερτεθείσης ὥσπερ τισὶ λίθοις ταῖς λοιδορίαις βάλλουσιν, οὓς πρὸ βραχέος διὰ τὴν ἡδονὴν προσεκύνουν.

---

117) ὅρκοις inc. f. 39^{v} (V).
118) om. **M**.
119) om. M.
121) om. M. ‖ ἀόργητον] ἀόργιτος V a m. pr. ‖ μὴ δὲ V.
122) om. V.
123) πραγματα M.
124) οἱ σφοδροὶ] οι φαιδροὶ M.
125) om. V ‖ ὦτα M.
126) om. V ‖ in mg. M: ὡραῖον (per scripturae compendium) ‖ (τῶι **M**) ‖ ὥςπέρ τισι M ‖ οὓς inc. f. 23^{v} (M) ‖ προβραχέος M.

127) Ὁ ἐλέγχων ἀνθρώπου ὁδοὺς χάριτας μᾶλλον ἕξει τοῦ γλωσσοχαριτοῦντος.

128) Ἀναιδὲς βλέμμα καὶ μετέωρος αὐχὴν καὶ συνεχὴς κίνησις ὀρρύων καὶ βάδισμα σεσοβημένον καὶ τὸ ἐπὶ μηδενὶ τῶν φαύλων ἐρυθριᾶν σημεῖα ψυχῆς ἐστιν αἰσχίστης, τοὺς ἀφανεῖς τύπους τῶν οἰκείων κακῶν ἐγγραφούσης τῷ φανερῷ σώματι.

129) Τὸ εἰς κακίαν οὐχ ἕτοιμον οὐδὲ εἰς ὑπόνοιαν εὐχερές, καὶ βραδὺ πρὸς ὑπόνοιαν κακοῦ τὸ πρὸς κακίαν δυσκίνητον.

130) Ῥᾴδιον ἑκάστῳ ἡμῶν τὰ ἀλλότρια πολυπραγμονεῖν ἢ τὰ οἰκεῖα ἑαυτοῦ διασκέπτεσθαι· ἵνα οὖν μὴ τοῦτο πάσχωμεν, παῦσαι, φησί, τὰ τοῦ δεῖνος κακὰ περιεργαζόμενος, μὴ δίδου σχολὴν τῷ λογισμῷ τὸ ἀλλότριον ἐξετάζειν ἀῤῥώστημα, ἀλλὰ σαυτῷ πρόσεχε, τουτέστιν ἐπὶ τὴν οἰκείαν ἔρευναν ἀνάστρεφε τὸ ὄμμα τῆς ψυχῆς σου· οὐδαμόθεν γὰρ ἠμέληται τὰ ἡμέτερα ἢ ἐκ τοῦ ἄλλους πολυπραγμονεῖν καὶ περιεργάζεσθαι· οὐ γάρ ἐστιν ἀνθρώπινον τοὺς ἀλλοτρίους πολυπραγμονοῦντα βίους τῆς οἰκείας ἐπιμεληθῆναί ποτε ζωῆς.

131) Ἀνθρωπάρεσκός ἐστιν ὁ πρὸς θέλημα ἀνθρώπου τινὸς εἰς ἀρεσκείαν αὐτοῦ ποιῶν τι, κἂν ἀτιμίας ἄξιον ᾖ τὸ γινόμενον.

132) Ὁ διαβάλλων τὸν πλησίον αὐτοῦ ἀδελφικὰ κρέα ἔφαγεν, ὑπόληψιν τρώσας καὶ μυρία ἕτερα ἐργασάμενος διὰ τοῦ λόγου.

133) Ἀπέστω σοι τὰ πολλὰ σχήματα καὶ τὸ γέλωτα κινεῖν· ἐκ γὰρ τῶν τοιούτων καὶ ἡ πρὸς σὲ τῶν πλησίον αἰδὼς περιαιρεῖται καὶ πρὸς ἰδιωτισμὸν κατὰ βραχὺ καταβαίνεις.

134) Ἐὰν [γὰρ] καλὸν ἔχῃς σῶμα καὶ ψυχὴν κακήν, καλὴν ἔχεις ναῦν καὶ κακὸν κυβερνήτην.

135) Οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως· οὐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικὸς πονηρᾶς.

136) Οὐχ οὕτω πνεύματος λάβρου κατασπιλάσαντος ἀγριαίνεται θάλασσα καὶ ἀφορήτοις κυμάτων ὁρμαῖς χέρσῳ τε καὶ πέτραις ῥήγνυται, ὡς ἀνδρὸς ψυχὴ παθοῦσα τὸ δύοργον καὶ τὸ ἀχάλινον εἰς θυμόν.

137) Ἀναισχυντία μέν ἐστιν ἴδιον ἀνδρὸς φαύλου, αἰδὼς δὲ σπουδαίου· τὸ δὲ μήτε αἰσχύνεσθαι μήτε ἀναισχυντεῖν τοῦ ἀκαταλήπτως ἔχοντος.

---

127) om. V.

130) om. V ‖ παῦσαι] παῦσε **M** ‖ σ'αυτῶ **M** ‖ τουτέστιν **M** ‖ ἡμεληται **M** ‖ ἢ **M**.

131) ἀνθρώπου] ἀνθρωπινον **M** ‖ ἀρέσκειαν **MV** ‖ τί **M**.

132) ad n. 131 trahit V.

133) om. **M** ‖ καταβραχὺ V.

134) om. M, cum 133 copulat V ‖ γὰρ delendum esse recte H intellexit ‖ ψυχὴν κακὴν] κακὴν ψυχὴν V.

135) om. M ‖ γυναικὸς inc. f. 40^{v} (V).

136) om. M ‖ λάβρου] λαύρου V (et H) ‖ τε V.

137) om. M.

138) Ὁ ἁπλοῦς καὶ ἄδολος εὐκόλως ἐξαγορεύει τῆς ψυχῆς τὰ ἀπόῤῥητα.

139) Χλεύη τὰ μὲν τῆς παιδοποιίας ὄργανα παρθένα τηρεῖν, τὴν δὲ γλῶσσαν μὴ τηρεῖν, ἢ ταύτην μὲν παρθένον τηρεῖν, τὴν δὲ ὅρασιν ἢ τὴν ἀκοὴν ἢ τὰς χεῖρας μὴ τηρεῖν, ἢ ταῦτα μὲν καθαρεύειν, τὴν δὲ καρδίαν μὴ τηρεῖν, ἀλλ' ἑταιρίζεσθαι τύφῳ καὶ θυμῷ.

140) Ἂν μηδὲν ἔχῃς ἐνεγκεῖν τῷ ἀσθενοῦντι διὰ πενίαν, σαυτὸν εἰσάγαγε καὶ τὴν ἀπὸ τῶν ῥημάτων αὐτῷ παραμυθίαν προσένεγκε.

141) Οὐκ εὔχομαι πλουτεῖν· οὐδὲ γὰρ τούτου ἐρῶ· ἀλλά μοι εἴη ζῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακόν.

142) Ἕως καιροῦ ἀνθέξεται μακρόθυμος, καὶ ὕστερον ἀναδώσει αὐτῷ εὐφροσύνη, καὶ χείλη πολλῶν ἐκδιηγήσεται σύνεσιν αὐτοῦ.

143) Ὁ τῇ ταπεινοφροσύνῃ τοὺς ἑαυτοῦ κατασχὼν λογισμοὺς πᾶσαν ἀτιμίαν ἐλάττονα εὑρήσει τῆς ἀληθείας.

144) Καὶ ἡ τοῦ λοιδορεῖσθαι καὶ ὑβρίζειν ἀκολουθία διὰ μακροθυμίας ἵσταται τῆς ἐπὶ τὰ πρόσω φορᾶς· ὡς εἴ γέ τις ὕβρει τὴν ὕβριν καὶ λοιδορίᾳ τὴν λοιδορίαν ἀμύνοιτο, πλεονάσει πάντως διαπαντὸς τρέφων διὰ τῶν ὁμοίων τὰ ἄτοπα.

145) Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν καὶ τὰ βλέφαρά σου νευέτω δίκαια.

146) Ὃς ἀναστρέφεται ἄμωμος ἐν δικαιοσύνῃ, οὗτος καταλείψει μακαρίους τοὺς ἑαυτοῦ παῖδας.

147) Πορευόμενος ἐν δικαιοσύνῃ, πατῶν εὐθεῖαν ὁδόν, μισῶν ἀνομίαν καὶ ἀδικίαν, καὶ τὰς χεῖρας ἀποσειόμενος ἀπὸ δώρων, βαρύνων τὰ ὦτα, ἵνα μὴ ἀκούσῃ κρίσιν αἵματος, καμμύων τοὺς ὀφθαλμούς, ἵνα μὴ ἴδῃ ἀδικίαν, καὶ οὗτος οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχύος.

148) Βίος λόγου δυνατώτερος καὶ τρόποι ῥημάτων καὶ ἡ διὰ τῶν ἔργων ἐπίδειξις τῆς διὰ τῶν λόγων διδασκαλίας.

149) Μὴ χελιδόνας οἰκίαις δέχεσθε, τουτέστι λάλους ἀνθρώπους καὶ περὶ γλῶσσαν ἀκρατεῖς ὁμωρόφους <μὴ> ποιεῖσθε.

---

138) om. M.

139) om. M ‖ τὰ μὲν] μὲν τὰ V.

141) om. V, cum n. 132 coniungit M ‖ (αὐτῶι M) ‖ προσένεγκε] προσήνεγκεν M.

142) om. M ‖ αὐτοῦ] corr. H: αὐτῶν V.

143) om. M, inc. f. 41^{r} (V).

144) om. M.

145) οἰοφθαλμοί M.

146) om. M.

147) om. M ‖ πατῶν] λαλῶν V; correxit H ‖ καμύων V ‖ ἰσχυος V.

149) om. V ‖ δέχεσθε] δέχεσθαι M a m. pr. ‖ τοῦτέστι M ‖ λάλους ἀνθρώπους] λάλοις ἀνθρώποις M ‖ μὴ om. M.

150) Ὃς ἀποκρίνεται λόγον, πρὶν ἀκοῦσαι, ἀφροσύνη αὐτῷ ἐστι καὶ ὄνειδος.

151) Ὄλισθος ἀνθρώποις γλῶσσα μὴ λόγῳ κυβερνωμένη.

152) Ἀπόκρισις ὑποπίπτουσα ἀποστρέφει θυμόν.

153) Ὃς φείδεται ῥῆμα προέσθαι σκληρόν, ἐπιγνώμων.

154) Γλῶσσα μαλακὴ συντρίβει ὀστᾶ.

155) Τίς δώσει ἐπὶ τοῦ στόματός μου φυλακὴν καὶ ἐπὶ τῶν χειλέων μου σφραγῖδα πανοῦργον, ἵνα μὴ πέσω καὶ ἡ γλῶσσά μου ἀπολέσῃ με;

156) Τὰ παρὰ τῶν φίλων λεγόμενα, κἂν ὕβρις ᾖ, φορητά.

157) Ἔστι φίλος ἐν καιρῷ αὐτοῦ, καὶ οὐ μὴ παραμείνῃ ἐν καιρῷ θλίψεως, καὶ ἐὰν ταπεινωθῇς, ἔσται κατὰ σοῦ.

158) Ὁ πονηρὸς ἑαυτῷ τίνι ἀγαθὸς ἔσται;

159) Ξενιεῖς καὶ ποτιεῖς εἰς ἀχάριστα, καὶ ἀντὶ τούτου πικρὰ ἀκούσῃ.

160) Οὐ πρέπει ἐν τῇ κατηγορίᾳ τοῦ λόγου τὸν ἐλέγχοντα στῆσαι τὸν λόγον· τοῦτο γὰρ ἥμισυ ἰατρείας ἐστί· τὸ γὰρ δεῖξαι τῷ κάμνοντι τῆς νόσου τὸ μέγεθος, ὥστε ἑαυτῷ ἐμποιῆσαι τοῦ κακοῦ τὴν φροντίδα, χρήσιμον μέν ἐστι, τὸ δὲ ἄχρι τούτου στῆναι καὶ μὴ πρὸς τὴν ὑγείαν χειραγωγῆσαι, οὐδὲν ἕτερόν ἐστιν ἢ ἐναφεῖναι ἕκδοτον τῇ ἀῤῥωστίᾳ τὸν ἄνθρωπον.

161) Ἀσυμβούλευτος ἀνὴρ πλοῖόν ἐστιν ἀκυβέρνητον.

162) Ἐπὶ γυναικὶ πονηρᾷ καλὸν σφραγίς, καί, ὅπου χεῖρες πολλαί, κλεῖσον.

163) Ἀσεβῶν λύχνος σβεσθήσεται· ἐλεύσεται δὲ αὐτῶν ἡ καταστροφή, <καὶ ἔσονται> ὥσπερ ἄχυρα ἀπὸ ἀνέμου.

164) Ἐὰν ἴδῃς συνετὸν ἄνδρα, ὄρθριζε πρὸς αὐτὸν καὶ βαθμοὺς τηρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου.

---

150) om. M ‖ ὃς] τίς V, ὅστις ex coniectura edidit H ‖ πρὶν inc. f. 41^{v} (V).

151) om. M.

152) cum 151 coniungit V.

153) om. M.

154) ad n. 153 trahit V ‖ ὀστά M.

155) om. M ‖ σφραγῖδα V.

156) om. V.

157) καὶ ἐὰν ταπεινωθῇς (ῆ m. rec. in rasura reposuit) ἔσται κατὰ (acc. m. rec. adiecit) σοῦ om. V.

158) (ἑαυτῶι) M.

159) om. M ‖ εἰς ἀχάριστα] ἀχάριστα V.

160) om. M.

161) inc. f. 42^{r} (V) ‖ πλοῖον ἐστὶν MV.

163) om. M ‖ καὶ ἔσονται addidi.

164) om. M.

165) Ἔλεγχος ἀνδρὸς ἤθους ἡ μετὰ τῶν τοιῶνδε συνουσία· ὅτε γὰρ φαῦλος, ἐξ ἀνάγκης τοῖς ὁμοίοις συνέσται· ὅτε δ' αὖ πάλιν σώφρων καὶ σοφός, τοῖς τὰ τοιαῦτα αὐτῷ μετιοῦσιν.

166) Ἐξῆλθεν εἰς ἀπάντησιν Ἰωσαφὰτ Ἀνανίας ὁ προφήτης καὶ εἶπεν αὐτῷ· βασιλεῦ Ἰωσαφάτ! εἰ ἁμαρτωλῷ σὺ βοηθεῖς, εἰ μισουμένῳ ὑπὸ Κυρίου σὺ φιλιάζεις, καὶ διὰ τοῦτο ἐγένετο ἐπὶ σὲ ὀργὴ παρὰ Κυρίου'.

167) Οἱ διὰ σπουδῆς ἀνθρωπίνης προελθόντες ἐπὶ τὸ ἄρχειν, ἐν αὐτῷ τούτῳ τῆς σπουδῆς τὴν χάριν ἀνταναπληροῦσι, τῷ πάντα πρὸς ἡδονὴν ἐνδιδόναι τοῖς ἁμαρτάνουσι· δοῦλοι τῶν δεδωκότων τὴν χάριν εἰσὶν οἱ δι' ἀνθρώπων ἑαυτοῖς τὴν δυναστείαν κτησάμενοι.

168) Ἄρχοντος μηδὲν τοὺς ἀρχομένους ὠφελοῦντος οὐδὲν ἀθλιώτερον· ὅσῳ γὰρ εἰς μείζονα ὄγκον τῆς ἀρχῆς ἀναβέβηκεν ὁ τὴν ἐπισκοπὴν λαχών, τοσούτῳ καὶ πλείονα ἀπαιτηθήσεται λόγον.

169) Πρὶν ἐξετάσῃς, μὴ μέμψῃ.

170) Λαμβάνοντος δῶρα ἐν κόλπῳ ἀδίκως οὐ κατευοδοῦνται αἱ ὁδοί.

171) Τὸ γενέσθαι κακὸν ἐν τῷ προελέσθαι μόνον ἀπόκειται· καὶ ἤρκεσε πολλάκις εἰς τελείωσιν κακίας ὁ λογισμός.

172) Τῷ μὲν ἀγνοίᾳ, τοῦ κρείττονος διαμαρτάνοντι συγγνώμη παρειςέρχεται, ὁ δ' ἐξεπίτηδες ἀδικῶν ἀπολογίαν οὐκ ἔχει.

173) Ὥςπερ θύρα στρέφεται ἐπὶ τῆς στρόφιγγος, οὕτως ὀκνηρὸς ἐπὶ τῆς κοίτης αὐτοῦ.

174) Μὴ γίνου ταχὺς τοῖς λόγοις σου καὶ ἀσθενὴς καὶ παρειμένος ἐν τοῖς ἔργοις σου.

175) Ἀγαθὸν χρηστότητι νικᾶν θρασύτητα, καὶ βελτίους ποιεῖν τοὺς ἀδικοῦντας, οἷς καρτεροῦμεν πάσχοντες.

176) Ὅταν ἐννοήσωμεν ἅπερ ἐπάθομεν παρὰ τῶν συνδούλων, λογισώμεθα καὶ ἅπερ ἐποιήσαμεν εἰς τὸν Δεσπότην, καὶ τῷ φόβῳ τῶν οἰκείων ἁμαρ-

---

165) om. M.

166) βασιλεῦ] ὁ βασιλεὺς V ‖ σὺ om. V ‖ ὑπὸ] ἀπὸ V ‖ διατοῦτο V.

167) (αὐτῶι M) ‖ ἀνταναπληροῦσι] ἀνταναπληρώσουσι M ‖ τῷ] τοῦ MV ‖ δοῦλοι novam sectionem inchoat in V, fortasse recte ‖ εἰσὶν] γάρ εἰσιν M.

168) om. M, — inc. f. 42^{v} (V).

169) om. M ‖ ἐξετάσῃς] corr. H: ἐξετάσεις V.

170) om. M.

171) om. M ‖ ἤρκεσε] ἤρκησε V; corr. H.

172) om. M.

173) om. M ‖ τῆς στρόφιγγος] corr. H: τοῦ στρόφιγγος V.

174) om. M ‖ μὴ] ἡ (sine littera initiali) V.

175) om. M ‖ θρασύτητα] ἢ θρασύτητι V.

176) om. M ‖ λογισώμεθα inc. f. 43^{r} (V) ‖ πλημμελήμασι] tacite correxit H: πλημμελήσασι V.

τημάτων τὸν θυμὸν τὸν ἐπὶ τοῖς ἀλλοτρίοις πλημμελήμασι ταχέως ἀπώσασθαι δυνησόμεθα.

177) Ὁ δαίμονι μνησικακῶν ἀνθρώποις οὐ μνησικακεῖ· εἰρηνεύει δὲ μετὰ δαιμόνων ὁ τῷ ἀδελφῷ μηνιῶν.

178) Οὐ τὸ πεσεῖν χαλεπόν, ἀλλὰ τὸ πεσόντα κεῖσθαι καὶ μὴ ἀνίστασθαι.

179) Ταράσσεται ὑπεραιρόμενος ὡς θύελλα καὶ ὡς κόνις ἐξαφανίζεται· ὡς πομφόλυξ ὀγκοῦται καὶ ὡς σπινθὴρ ἀποσβέννυται τὸ ὑπέρογκον πνεῦμα, τὸ μεγαλόρρημον θράσος, ὁ πηλὸς ὁ αὐθάδης, ἡ κόνις ἡ μεγαλόφρων, ἡ σποδὸς ἡ πεφυσιωμένη, ὁ σπινθὴρ ὁ εὐκατάσβεστος, ὁ εὐρίπιστος λύχνος, ἡ εὐμάραντος χλόη, ὁ φύσει θνητὸς καὶ τῇ ἐπάρσει, ὡς νομίζει, αἰώνιος.

180) Ἀκμήτωρ ἀρετῆς λογισμὸς ὑπερήφανος.

181) Χαλεπὸν ἐμφυγεῖν τὸν τῆς κενοδοξίας δαίμονα· ὃ γὰρ ποιήσεις καθαιρήσειν αὐτήν, τοῦτο ἀρχή σοι κενοδοξίας ἑτέρας γενήσεται.

182) Ἐνθυμεῖσθαι χρὴ ἀνθρώπους ὄντας αὐτὸ τοῦτο, ὅτι ἄνθρωποί ἐσμεν· τοῦτο γὰρ ἀνὴρ ἐνθυμούμενος πολὺ γενήσεται σωφρονέστερος καὶ ἧττον ἂν μεγαλοφρονοίη.

183) Ὁ χρόνος καὶ ἡ ἐμπειρία τὰ καλῶς ἔχοντα διδάσκει τοὺς ἀνθρώπους.

184) Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερος.

185) Συμφέρον ἡγοῦμαι οὐ μόνον τοὺς ἡδεῖς λόγους ἀκούειν, ἀλλὰ καὶ τοὺς παραυτίκα μὲν πικρούς, εἰς ὕστερον δὲ τὴν ὠφέλειαν ἀποδιδόντας.

186) Ὥςπερ τοῖς ἀῤῥωστοῦσιν ἄλλο τι ἀκούειν ἢ πράττειν ἁμάρτημά ἐστιν ἢ ἀφ' ὧν μέλλουσιν ὠφελεῖσθαι τὰ πρὸς ὑγείαν, οὕτω καὶ τοῖς ἄλλοις ἀνθρώποις ἁμάρτημά ἐστιν ἄλλο τι λέγειν ἢ πράττειν ἢ ἀφ' ὧν μέλλουσιν ὠφελεῖσθαι.

187) Ὠφελιμώτερον ἄνθρωπος χρηστὸς ἢ πρᾶγμα ἀγαθόν· τὰ μὲν γὰρ ἔργῳ μόνῳ ὠφελεῖν πέφυκεν, ὁ δὲ ἄνθρωπος πρὸς τοῖς ἔργοις καὶ τοῖς λόγοις

---

177) om. **M**.

178) om. M.

179) om. M, cum n. 178 copulat V ‖ εὐρίπιστος] εὐρύπιστος V (et H), sed εὐρίπιστος m. pr. exaraverat.

180) om. M.

181) om. M ‖ καθαιρήσειν] καθαιρήσεις V.

182) om. M ‖ αὐτὸ inc. f. 43^{v} (V) ‖ ἄνθρωποι ἐσμὲν V (et H).

183) om. M.

184) om. M ‖ αἱρετώτερος] ed. H: αἱρετώτερον V.

185) om. M.

186) om. M ‖ ἄλλό V utroque loco.

187) om. M.

ὠφελεῖν δυνήσεται· καὶ τὸ μὲν πρᾶγμα πείθειν οὐ πέφυκε τοὺς ἁμαρτάνοντας, ὁ δὲ σπουδαῖος ἄνθρωπος πολλὰ μεταπείσει καὶ διδάξει τοὺς τὰ βέλτιστα ἀγνοοῦντας.

188) Ὥςπερ δεσπότην μηδενὸς ἄξιον νομίζομεν, ὅταν αὐτοῦ τοὺς οἰκέτας βελτίους ὁρῶμεν, οὕτως οὐδὲ ἄνθρωπον καλὸν καὶ ἀγαθόν, ὅταν τὸ σῶμα τῆς ψυχῆς ἄμεινον διακείμενον ἴδωμεν· καὶ γὰρ τῶν ἔνδοθεν μὲν σαπρὰν ἐχόντων οἰκίαν, ἔξωθεν δὲ ζωγραφούντων ἄνοιαν κατηγοροῦμεν.

189) Πολυμαθία λίαν μὲν ὠφελεῖ, λίαν δὲ καὶ βλάπτει· ὠφελεῖ μὲν τὸν δεξιὸν ἄνδρα, βλάπτει δὲ τὸν ῥᾳδίως φωνοῦντα πᾶν ἔπος καὶ ἐν ἅπαντι δήμῳ· χρὴ δὲ καιρῶν μέτρα εἰδέναι· σοφίας γὰρ ὅρος οὗτος.

190) Ὡς ἔστιν ἀνθρώπῳ δουλώσασθαι θυμὸν χαλεπὸν [ἢ] ἀγρίων θηρίων· θῆρες μὲν γὰρ ἃ φρονοῦσιν ἐδίδαξαν.....

191) Κρεῖττον πρὸς εὐδαιμονίαν ἐλάττω κεκτῆσθαι ἢ πολλὰ μετὰ φθόνου καὶ κινδύνου· καὶ γὰρ καλλίων καὶ ἡδίων ὁ βίος οὗτος· νόμιζε δὲ τὴν εὐδαιμονίαν οὐκ ἐν τῷ πολλὰ κεκτῆσθαι, ἀλλ' ἐν τῷ τὴν ψυχὴν εὖ διακεῖσθαι· καὶ γὰρ σῶμα οὐ τὸ λαμπραῖς ἐσθήσεσι κεκοσμημένον καλὸν φαίη τις ἂν εἶναι καὶ μακάριον, ἀλλὰ τὸ τὴν ὑγείαν ἔχον καὶ σπουδαίως διακείμενον, κἂν μηδὲν τῶν προειρημένων αὐτῷ παρῇ· τὸν αὐτὸν δὲ τρόπον καὶ ψυχὴ ἐὰν ᾖ πεπαιδευμένη, τὴν τοιαύτην καὶ τὸν τοιοῦτον ἄνθρωπον εὐδαίμονα προσαγορευτέον, κἂν μὴ τοῖς ἐκτὸς ᾖ λαμπρός· οὐδὲ γὰρ ἵππον, ἐὰν ψέλλια χρυσᾶ καὶ σκευὴν ἔχῃ πολυτελῆ φαῦλος ὤν, ἄξιόν τινος νομίζομεν, ἀλλ' ὃς ἂν διακείμενος ᾖ σπουδαίως, τοῦτον μᾶλλον ἐπαινοῦμεν· τοῖς γὰρ διακειμένοις τὰ περὶ τὴν ψυχὴν κακῶς οὔτε πλοῦτος οὔτε ἰσχὺς οὔτε κάλλος τῶν ἀγαθῶν ἐστιν, ἀλλ' ὅσῳ περ ἂν αὗται μᾶλλον αἱ διαθέσεις καθ' ὑπερβολὴν ὑπάρξωσι, τοσούτῳ πλείω καὶ μείζω τὸν κεκτημένον βλάπτουσι χωρὶς φρονήσεως παραγινόμεναι. Τί γάρ ἐστιν ἄνθρωπος ἢ ἀσθενείας ὑπόδειγμα, καιροῦ λάφυρον, τύχης παίγνιον, μεταπτώσεως εἰκών, φθόνου καὶ συμφορᾶς πλάστιγξ, πρὸς δὲ τούτοις φλέγμα καὶ χολή;

192) Τὴν χάριν δεῖ ἀμετάβλητον εἶναι καὶ καλὸν καρπὸν φέρειν, τὸν παρὰ τῶν εὖ πασχόντων ἔπαινον.

---

188) om. **M**, inc. f. 44^{r} (V) ‖ μὴδενὸς V ‖ βελτίους] tacite correxit H: μὴ βελτίους V.

189) πολυμαθία] πολυμάθεια V ‖ χρὴ δὲ καιρῶν μέτρα εἰδέναι· σοφίας γὰρ ὅρος οὗτος om. **M**.

190) om. **M** ‖ ὡς ἔστιν] ″ς (sine littera initiali) ἔστιν V ‖ ἢ inclusi.

191) καλλίων καὶ ἡδίων] καλίων καὶ ἰδίων **M** ‖ νόμιζε] νομίζειν MV, unde fortasse elicienda est Hergenroetheri scriptura: νομίζειν δὲ δεῖ ‖ εὐδαιμονίαν] εὐνομίαν ex apographo enotavit H ‖ καλὸν om. **M** ‖ τίς **M** ‖ διακείμενον inc. f. 44^{v} (V) ‖ σκευὴν **M** ‖ ἔχῃ] ἔχει V a m. pr. ‖ ἄξιον τινὸς MV ‖ ᾖ σπουδαίως (inc. f. 24^{r} **M**), τοῦτον μᾶλλον ἐπαινοῦμεν· τοῖς γὰρ διακειμένοις om. V ‖ ἐστὶν **M** ‖ αὗται] αὐτοὺς **V** ‖ καθὑπερβολὴν **M** ‖ τί γὰρ] τίς V, ubi nova sectio initium capit ‖ πλαστιγξ V.

192) om. V.

193) Τῶν ἐν ὀργῇ διαπραττομένων ἁπάντων ὁ λογισμὸς ἀποδημεῖ, φεύγων τὸν θυμὸν ὡς πικρὸν τύραννον.

194) Ὥςπερ οἶνος κρίνεται τοῖς τῶν πινόντων τρόποις, οὕτω καὶ ἡ φιλία τοῖς τῶν χρωμένων ἤθεσιν.

195) Ὥςπερ ὁ καπνὸς ἐπιδάκνων τὰς ὄψεις οὐκ ἐᾷ προςβλέπειν τὸ κείμενον ἐν ποσίν, οὕτως ὁ θυμὸς ἐπαιρόμενος τῷ λογισμῷ ἐπισκοτεῖ καὶ τὸ συμβησόμενον ἐξ αὐτοῦ ἄτοπον οὐκ ἐφίησι τῇ διανοίᾳ προκατιδεῖν.

196) Ὁ τὴν δικαιοσύνην ἔχων ἐν τῇ ψυχῇ οὐ μόνον τοῖς ἄλλοις ὠφελιμός ἐστιν, ἀλλὰ καὶ αὐτὸς ἑαυτῷ· οὐ γὰρ πειράσεται ἑαυτὸν ἀδικεῖν οὐδὲ καθ' ἓν μέρος, ἀλλὰ δικαίως χρήσεται τοῖς τῆς φύσεως αἰσθητηρίοις.

197) Οὐδὲν ἂν γένοιτο καλόν, ὃ μὴ μετὰ νόμου τε καὶ νοῦ γένοιτο.

198) Τίς ἂν ἧττον φοβοῖτό τι ἢ θαρσοίη μάλιστα, ἢ ὅςτις ἑαυτῷ μηδὲν συνειδείη κακόν.

199) Αὐταρκείῃ τροφῆς μακρὴ νὺξ οὐδέποτε γίνεται.

200) Βίος ἀνεόρταστος μακρὴ ὁδὸς ἀπανδόκευτος.

201) Ἔργον παράβολον θαύμαζε μέν, μὴ μιμοῦ δέ.

202) Ἐπιθυμία κέρδους ζημίας ἀρχή.

203) Ἐαρινὴν ὀπώραν χειμῶνος καιρὸς οὐ τηρεῖ, οὐδὲ νεωτερικὴν ἀσέλγειαν ὁ τοῦ γήρως ἐπιδέχεται χρόνος· ἴδιον γὰρ τούτων ἑκατέρῳ τὸ ἕτερον.

204) Ἐν ἴσῳ νομιστέον εὐεργεσίας τόν τε χαριζόμενόν τι τῶν ἰδίων καὶ τὸν δυνάμενον μὲν βλάπτειν, ἀπεχόμενον δέ.

205) Τῶν φαύλων ἔργων καὶ τοὺς λόγους παραιτητέον καί, ἃ οὐκ ἂν πράξαις πολλῶν παρόντων, ταῦτα μηδὲ λέξῃς πολλῶν ἀκουόντων.

206) Τιμὴ πᾶσα ἡ σπανιωτέρα πλουσιωτέρα.

207) Ὑγείαν μὲν εὔχονται παρὰ Θεοῦ ἄνθρωποι, αὐτὴν δὲ ταύτην ἐν

---

193) om. V.

195) προςβλέπειν] προβλέπειν V, sed προςβλέπειν primitus exaratum erat ‖ ἐπαιρόμενος inc. f. 45 r (V).

196) καθὲν M.

197) τὲ V ‖ καὶ νοῦ] καινοῦ M.

198) τίς] ἰς (sine littera initiali) V ‖ φοβοῖτο τί M ‖ συνειδείῃ] συνείδοι M, συνίδοι V.

199) αὐταρκείῃ τροφῆς] αὐτάρκεια τροφῆς M, αὐτάρκεια τρυφῆς V, non αὐταρκεία τροφῆς, sicuti ex apographo profert H, qui ipse in textu αὐταρκεῖ (sic) τροφῇ exhibet ‖ μακρὴ] μικρὴ M, μικρὰ V (non μακρὰ, quae est Hergenroetheri lectio).

200) βίος] ίος (sine littera initiali) V ‖ μακρὴ] μακρὰ MV.

201) ἔργον] ργον (sine littera initiali) V.

203) ἐαρινὴν] αρινὴν (sine littera initiali) V ‖ ἑκατέρῳ] ἑκατέρων V.

204) χαριζόμενον τί V ‖ δυνάμενον inc. f. 45v (V) ‖ μὲν—δὲ] δὲ—μὲν M.

205) μὴ δὲ MV.

206) om. H, sed habet V ‖ τιμὴ] τί μὴ M.

207) Θεοῦ] τοῦ θεοῦ V ‖ ἐν αὐτοῖς] om. V, ἐν αὐτοῖς M.

αὐτοῖς ἔχοντες οὐκ ἴσασιν, ἀκρασίᾳ δὲ καὶ πλησμονῇ τὰ ἐναντία ποιοῦντες αὐτοὶ προδόται τῆς ὑγείας καθίστανται.

208) Φόβος κολακείαν μὲν ἐργάζεται, εὔνοιαν δὲ οὐ κέκτηται.

209) Φιλονεικία πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενοῦς βλαβερὸν θεωροῦσα τὸ ἴδιον συμφέρον οὐ βλέπει.

210) Φρόνιμος ὁ δι' ἑαυτὸν τὰ καλὰ πράσσων, ὁ δὲ διὰ τύχην μακάριος.

211) Οὔτε λόγος ἀγαθὸς φαύλην πρᾶξιν ἀμαυροῖ, οὔτε πρᾶξιν ἀγαθὴν λόγου βλασφημία λυμαίνεται.

212) Χαλεπὸν δάνειον χάρις· αἰσχρὸν γὰρ τὸ ὀφείλειν μένοντα τὴν ἀπαίτησιν.

213) Οὐ πορφύρᾳ καὶ διαδήματι τὸ μακάριον διοικεῖται, λογισμῷ δὲ εἰδότι καλῶς πορφύραν καὶ διάδημα φυλάξαι.

214) Ὁ μὲν νόμος τὴν ἀξίαν τῶν ἀδικημάτων ἑκάστῳ τιμωρίαν ὁρίζει καὶ τοὺς ἔξω τῆς ὀργῆς ἔχει κριτάς, ἀναβολήν τε τοῦ μέλλοντος κακοῦ καὶ βουλὴν πρὸς τὸ διαφυγεῖν τὸν κίνδυνον δίδωσιν, ἡ δὲ ἀνομία τὸν παραυτίκα θυμὸν βραβευτὴν ἐφίστησι τῆς κολάσεως.

215) Καλὸν μὲν πάντα ὁμόφυλα εἶναι, εἰ δὲ μή, <ἀλλά> γε μηδὲ ἀλλόφυλα· οὐδὲ γὰρ ἡ τῆς φύσεως ἡδονὴ τὴν ἀδικίαν ποιεῖν εἴωθεν, ἀλλ' ἡ περὶ τὰς κενὰς δόξας ὄρεξις.

216) Τῶν ἐπιθυμιῶν αἱ μέν εἰσι φυσικαὶ καὶ ἀναγκαῖαι, αἱ δὲ φυσικαὶ μέν, οὐκ ἀναγκαῖαι δέ, αἱ δὲ οὔτε φυσικαὶ οὔτε ἀναγκαῖαι, παρὰ δὲ τὰς κενὰς δόξας γινόμεναι.

217) Τὸ ἄδοξον μηδὲν λυπείτω, ὅταν τὸ κατὰ τὸν βίον ἀσφαλὲς ἄμεινον ἔχῃ τῶν ἐν δόξῃ.

218) Οὔτε φιλιππός ἐστιν ὁ τρυφῶντας τρέφων ἵππους καὶ πρὸς ἡδονὴν πώλοις χαλινοὺς ἀργυροῦς παρέχων καὶ τὰς χαίτας πορφυροῖς ἀναπλέκων δεσμοῖς, ἀλλ' ὁ ἐξ ὧν ἄριστοι κατὰ φύσιν γενήσονται σπουδάζων, οὔτε φιλότεκνος ὁ πολλὰς ἡδονὰς τοῦ σώματος τοῖς υἱοῖς παρέχων καὶ πολλὴν οὐσίαν ἀπολιμπάνων καὶ παρασκευὴν ἐπὶ τὰς ἡδονάς· δειλῶν γὰρ υἱῶν ἄθλιοι πατέρες, οἷς

---

210) ἑαυτὸν] ἑαυτοῦ V.

212) om. V.

213) διάδηματι (sic) M a m. pr.

214) inc. f. 24^{v} (M) ‖ ὁρίζει inc. f. 46^{r} (V) ‖ ἀναβολὴν τὲ M, ἀναβολην τε V.

215) ἀλλά om. MV ‖ μὴ δὲ MV ‖ περὶ τὰς] παρατὰς V (ex n. 216) ‖ κενὰς] κοινὰς ex coniectura edidit H.

216) μὲν εἰσὶ M ‖ μὲν (altero loco) om. V ‖ κενὰς] κοινὰς corr. H ‖ γινόμεναι] γενόμεναι M.

217) ἐν δόξῃ] ἐνδόξω V, ἐνδόξων H.

218) ἀργυροὺς M et (ante χαλινοὺς) V ‖ φιλότεκνος inc. f. 46^{r} (V) ‖ τοὺς om. V ‖ ὁρμητήρια ἐστὶ MV.

πᾶσα σπουδὴ καὶ φροντὶς οὐχ ὑπὲρ τοῦ ἀρετὴν ἔχοντας ἀπολιπεῖν τοὺς υἱούς, ἀλλ᾽ ἄργυρον καὶ χρυσόν, ἅπερ ὡς ἐπίπαν ὁρμητήριά ἐστι τοῖς νέοις καὶ ἀπαιδεύτοις πρὸς ἁμαρτίας.

219) Δεῖ φιλάνθρωπον εἶναι τὸν μέλλοντα ἄρξειν ἀνθρώπων, ὥςπερ φίλιππον τὸν ἵππων καὶ φιλόκυνα τὸν κυνῶν.

220) Δεῖ τὸν μέλλοντα σωφρονικὸν εἶναι διευλαβεῖσθαι τὸ μέγα καὶ τὸ ταχέως λαλεῖν· ἀμφότερα γάρ ἐστι θρασύτητος σημεῖα· ὅθεν καὶ μανικοὺς εἰώθαμεν καλεῖν τοὺς τούτων ἑκάτερον πράσσοντας.

221) Εὐλαβητέον περὶ πραγμάτων αἰσχρῶν καὶ διαλέγεσθαι· δοκεῖ γὰρ ὁ λόγος ἑκάστου ἐνταῦθα πηδᾶν, ὅπου ὁ νοῦς τυγχάνει.

222) Ἡ τῶν γεγενημένων πραγμάτων μετάνοια τῶν μελλόντων πέφυκε γίνεσθαι πρόνοια.

223) Καθάπερ ὑπόδημα τὸ ἁρμόζον τῷ ποδὶ εὔχρηστον, οὐ τὸ κάλλιστον, καὶ ἱμάτιον τὸ σύμμετρον, οὐ τὸ μέγιστον, οὕτω καὶ πρᾶγμα· καὶ βίον ἕκαστον αἱρετέον τὸν περὶ τὴν φύσιν.

224) Οὐ τὸν βίον ἐκ τῆς λόγου δεινότητος πιστεύομεν, ἀλλὰ τὸν λόγον ἐκ τῆς περὶ τὸν βίον εὐταξίας.

225) Ὅσῳ ἄν τις πλειόνων ἐπιδεόμενος τυγχάνῃ, τοσούτῳ χείρων καὶ ἐπιπονώτερος ὁ βίος· ἀνάγκη γὰρ περὶ ταῦτα ἀναστρεφόμενον ἀμελεῖν τῶν καλλίστων καὶ ὥςπερ θητικήν τινα διαγωγὴν ἔχειν ἀντ᾽ ἐλευθερίας.

226) Οὐ μὴν οὐδὲ μετ᾽ ὀργῆς πρακτέον τοῖς φρονίμοις οὐδέν· ἀλόγιστον γὰρ ὁ θυμὸς καὶ μετὰ προνοίας οὐδὲν ἄν ποτε ποιήσειεν, ἀλλὰ μεθύων ταῖς φιλονεικίαις οὐ κέχρηται ταῖς ὁρμαῖς ὡς δεῖ· χρὴ οὖν μὴ ἐξ ὑπογύου τῶν ἁμαρτημάτων τὰς τιμωρίας μήτε παρὰ τῶν οἰκετῶν μήτε παρὰ τῶν ἄλλων λαμβάνειν, ἵνα τὸ τῷ λογισμῷ κράτιστον, ἀλλὰ μὴ τὸ τῷ θυμῷ φίλον πράττῃς· τὸ γὰρ τιμωρεῖσθαί τινα κακῶς ἑαυτὸν ποιοῦντα δίκην διδόναι οὐχ ἧττον ἢ λαμβάνειν ἐστίν· ὥςτε δεῖ σχολῇ μᾶλλον ἀμύνασθαι ζητεῖν ἢ ταχέως καὶ ἀλυσιτελῶς κολάσαι τὸν ἐχθρόν.

227) Τὸν σωφρονικὸν οἶμαι δεῖν διωθεῖσθαι τὰς τῶν οὐχ ὁμοίων ὁμιλίας, ἵνα μὴ τὸ καθαρὸν ἦθος ἀπὸ τοῦ ῥυπῶντος τῇ δόξῃ ῥυπωθῇ.

---

219) φίλιππον τὸν] τὸν φίλιππον M, φίλιππον V ‖ φιλόκυνα τὸν] τὸν φιλόκυνα M, φιλόκυνα V.

220) σωφρωνικὸν M.

221) καὶ] κἂν M.

222) γεγενημένων] προγεγενημένων M ‖ πέφυκε inc. f. 47^{r} (V).

223) inter βίον et ἕκαστον M falso addit (ex n. 224): ἐκ τῆς λόγου δεινότητος.

224) βιον M (priori loco) ‖ εὐταξίας] εὐπραξίας V.

225) om. V ‖ (τοσούτωι M) ‖ ἀντ᾽ἐλευθερίας M.

226) om. V ‖ μὴ] μήτε MV ‖ λογισμῷ inc. f. 25^{r} (M) ‖ ποιοῦντα] ποιοῦντος M ‖ κολάσαι M.

228) Ὁ ἐκ διαβολῆς καὶ ψεύδους ψόγος ἐπ᾽ ὀλίγον ἰσχύσας οὐδὲν λυπεῖ· ἀπεμαράνθη γάρ.

229) Χαλεπὸν καὶ τὸ κρῖναι καὶ τὸ ἑλέσθαι τὸν ἄριστον βίον, πολλῷ δὲ μεῖζον καὶ χαλεπώτερον τὸ κρίναντα καὶ προελόμενον ἐμμεῖναι.

230) Ἅμα τὴν ἐπαγγελίαν ποιητέον καὶ τὴν δόσιν συναπτέον· ἐπαγγελίαν γὰρ ἀνατεινομένην οὐκ ἐπισφραγίζεται χάρις.

231) Ἐν πόλει μήτε ὡς λέων ἀναστρέφου μήτε ὡς κώνωψ· τὸ μὲν γὰρ ἐκπατεῖται, τὸ δὲ καιροφυλακεῖται.

232) Μακαρίζουσί τινες βασιλεῖς καὶ δυνάστας οὐ διὰ τὸ ἐκείνων εὔδαιμον, διὰ δὲ τὸ αὐτῶν ταλαίπωρον.

233) Αἱ φιλότιμοι τῶν φύσεων καὶ τῷ ἐπαίνῳ παροξύνονται· πεινῶσι γὰρ ἐπαίνου τινὲς τῶν φύσεων οὐχ ἧττον ἢ ἄλλαι σίτων καὶ ποτῶν.

234) Ἐγὼ οὐ τοὺς πλεῖστα ἔχοντας καὶ φυλάσσοντας πλεῖστα εὐδαιμονεστάτους ἡγοῦμαι, ἀλλ᾽ ὃς ἂν κτᾶσθαι τὰ πλεῖστα δύνηται σὺν τῷ δικαίῳ καὶ χρῆσθαι τούτοις σὺν τῷ καλῷ.

235) Οἶνος ἄρδων τὰς ψυχὰς τὰς μὲν λύπας, ὥσπερ μανδραγόρας <τοὺς ἀνθρώπους>, κοιμίζει, τὰ δὲ πάθη, ὥσπερ ἔλαιον φλόγα, ἐγείρει.

236) Ὅστις ἰσχυρῶς χρήμασιν ἥδεται, τοῦτον εὖ ἴσθι καὶ δαπανῶντα ἰσχυρῶς ἀνιᾶσθαι.

237) Τὸ μὲν τοὺς πολεμίους δολοῦν καὶ ἐξαπατᾶν ὡς δίκαιον, πρὸς δὲ τοὺς φίλους τὸ ἁπλούστατον εἶναι ὡς κάλλιστον.

238) Μὴ ἐγγυῶ μοχθηρὸν μηδένα μηδὲ ἐν χρηστοῖς αἰτίαις· πολλοῖς γὰρ τῶν τοιούτων μετεμέλησε· μηδὲ ὀργῆς ἄρχε πρὸς τοὺς φίλους, ἀλλὰ διαλλαγῆς· τοῦτο γὰρ ἀνδρὸς ἀγαθοῦ· μηδὲ συμβίου διαβεβλημένοις καὶ κακοῖς· δόξεις γὰρ τοιοῦτος εἶναι.

239) Μήτε ἀπίστει ἄγαν μήτε ῥᾳδίως ἀποδέχου· τὸ μὲν γὰρ κακόηθες, τὸ δὲ εὐεξάπατητον.

---

228) ἐπὸλίγον M.

229) om. V ‖ κρίναι M.

230) δόσιν] δόξαν V ‖ γὰρ] δὲ MV.

231) om. V.

232) μακαρίζουσι τινὲς MV ‖ καὶ om. V.

233) αἱ] οἱ V (et H) ‖ καὶ inc. f. 47ᵛ (V) ‖ πεινῶσι (in M nova incipit sectio)] ἐπαινοῦσι V ‖ ἐπαίνου] ἐπαίνους V ‖ σίτων] σιτίων V.

234) ἡγοῦμαι V ‖ τούτοις] τουτούτοις (sic) V ‖ (τῶι M).

235) τοὺς ἀνθρώπους om. MV.

236) ὅστις] ʺστις (sine littera initiali) V ‖ ἥδεται] ἡδὺς M.

237) δολοῦν] δουλοῦν V.

238) μὴ δὲ M, μηδ᾽ V ‖ χρηστοῖς] αἰσχροῖς MV ‖ μὴ δὲ MV (H peculiarem sectionem efficit) ‖ ἄρχε inc. f. 48ʳ (V) ‖ μὴ δὲ M et V (V novam eclogam inchoat eodemque modo sententiam dispescit H) ‖ καὶ om. V.

240) Ὅ τι ἂν ὑπόσχῃ, ποίει ταχύ, ἵνα δόξῃς ἑκὼν χαρίζεσθαι· ὅσῳ γὰρ ἂν πλέον εὐεργετήσῃς τὸν φίλον, τοσούτῳ μᾶλλον τὸ σαυτῷ συμφέρον ποιήσεις· ἀντιστρέφει γὰρ πάλιν ἡ ἐξ ἐκείνων εὔνοια.

241) Πείθειν ζήτει, βιάζεσθαι δὲ μή· οἱ μὲν γὰρ βιασθέντες ἐχθρὸν ἡγοῦνται, οἱ δὲ πεισθέντες σοφόν.

242) Ἡ τῶν σωμάτων ἕξις ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας ἀπόλλυται, ὑπὸ γυμνασίων δὲ καὶ κινήσεων ἐπὶ τὸ πολὺ σώζεται, καὶ ἡ ἐν τῇ ψυχῇ ἕξις ὑπὸ μαθήσεως μὲν καὶ μελέτης κινήσεων ὄντων σώζεται καὶ γίνεται βελτίων, ὑπὸ δὲ ἡσυχίας καὶ ἀμελετησίας καὶ ἀμαθίας οὔτε τι μανθάνει, ἅ τε ἂν μάθῃ ἐπιλανθάνεται.

243) Θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ᾽ ὡς οἷόν τε δικαιότατος, καὶ οὐκ ἔστιν αὐτῷ ὅμοιον οὐδὲν ἢ ὃς ἂν ἡμῶν γένηται δικαιότατος.

244) Ὧι τινί τις μὴ ἐπίσταται χρῆσθαι, κρεῖττον ἐᾶν τὴν τούτου χρῆσιν.

245) Πᾶσα ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, ἀλλ᾽ οὐ σοφία φαίνεται.

246) Τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιόν ἐστι καὶ τὸ μὴ διδόναι δίκην τοῦ διδόναι.

247) Τάξεως καὶ κόσμου τυχοῦσα οἰκία χρηστὴ ἂν εἴη, ἀταξίας δὲ μοχθηρά.

248) Οἱ Πυθαγόρειοι ὑποτίθενται μὴ πρότερον καθεύδειν ἢ ἀναλογίσασθαι τὰ πραχθέντα αὐτοῖς τὴν ἡμέραν· ὁ δὲ Ἡσίοδος ἀναστάντας φησὶ δεῖν ἀναλογίσασθαι, τίνα αὐτοῖς ἐστι τὰ ἐπιβάλλοντα πραχθῆναι.

249) Κῦρος ὁ Περσῶν βασιλεὺς κατανοήσας τινὰ τῶν ὑφ᾽ αὑτὸν στρατηγῶν ἐπιμελῶς προάγοντα τοὺς κακοὺς ‘ὦ μακάριε’ φησίν· ‘ἐὰν οἱ σώφρονες τοὺς φαύλους ἴδωσιν ἀτιμαζομένους, πολὺ προθυμότερον τῆς ἀρετῆς ἀνθέξονται’.

250) Ὁ αὐτὸς ἐρωτηθείς, τίνι μάλιστα φιλία διασώζεται, ‘ὁμονοίᾳ’ εἶπε, ‘καὶ πίστει φίλων βεβαίων’· ἔφη δὲ δεῖν ἐχθροὺς ἀγαθοὺς καὶ φίλους βεβαίους κατὰ τὴν ἀξίαν τῶν ἔργων προτιμᾶν· ἐχθροὺς μὲν γὰρ ἀγαθοὺς φίλους γενο-

---

240) om. V ‖ τὸ σαυτῷ] τοσαυτοῦ M.

242) κινήσεων] κινήσεως M ‖ τὸ πολὺ] πολὺ V ‖ ἡσυχίας] ἡσυχίας καὶ ἀργίας V ‖ οὔτε MV ‖ ἅτε M.

243) (αὐτῶι M).

244) inc. f. 48^{v} (V) ‖ ὦτινι τὶς M, ᾧτινι (sine littera initiali) τὶς V, ᾧΟι τινί τις (sic) ex coniectura scripsit H, qui ex apographo enotavit: ὅς τινί τις.

246) κάκιον ἐστὶ M.

247) om. V.

248) Πυθαγόρειοι] Πυθαγόριοι MV ‖ ὑποτίθενται] τίθενται M.

249) ὑφ᾽αὐτὸν M, ὑπ᾽ αὐτὸν V.

250) inc. f. 49^{r} (V) ‖ ὁμόνοια M a m. pr. ‖ πίστει φίλων] φίλων πίστει V ‖ βεβαίων V ‖ a voce ἔφη novum tmema inchoat H ‖ γενομένους] γεναμένους M.

μένους μεγάλην ὠφέλειαν ἄρχοντι γίνεσθαι, τιμωρία δὲ κακῶν καὶ χρηστῶν ἐπιμέλεια ὁμόνοιαν καὶ εὔνοιαν τοῖς ἀρχομένοις πρὸς τοὺς ἄρχοντας ἐμποιεῖ.

251) Οὐ τὸ λοιδορεῖσθαι ἄτοπον, ἀλλὰ τὸ λοιδορίας εἶναι ἄξιον.

252) Ἱέρων ὁ Σικελίας τύραννος ἔλεγε μηδένα τῶν παῤῥησιαζομένων πρὸς αὐτὸν ἄκακον εἶναι· τοὺς δὲ ἀπόῤῥητον λόγον ἐκφέροντας ἀδικεῖν ᾤετο καὶ πρὸς οὓς ἐκφέρουσι· μισοῦμεν γὰρ οὐ μόνον τοὺς ἐκλαλήσαντας, ἀλλὰ καὶ τοὺς ἀκούσαντας, ἃ μὴ βουλόμεθα'.

Excursus ad n. 2 (p. 2).

Quatenus V et liber ab Hergenroethero usurpatus inter se discrepent, decernere non possum, sed apographum Marcianum neglegenter ab editore excussum esse plurimisque locis Hergenroetheri et errata et commenta in textum inrepsisse equidem persuasum habeo. Quamobrem ex adnotatione critica permultas Hergenroetheri scripturas, quae in V non compareant, segregavi, sub uno adspectu ponere contentus.

N. 6 ἐστὶ] ἔστιν ‖ 7 περὶ] ὑπὲρ ‖ 11 πρᾶος] πρᾷος [eodemque modo 27 πρᾴου pro πράου, sed 25 et 144 πραότητος habes; ex contrario n. 16 legitur ζώου, 26 ῥαθυμίαι, 36 ῥαθυμίας, (243 οὐδαμῇ); cf. insuper nota ad n. 247] ‖ 18 τοῦ σώματος τῆς μορφῆς] τοῦ σώματος (καὶ) τῆς μορφῆς ‖ 19 γὰρ] γαρ, cuiusmodi quisquilias in sequentibus non curabo ‖ 20 ἀκοὴ] ἡ ἀκοὴ ‖ θέλγουσι] θελγοῦσι ‖ 21 ἀσχημοσύνη] ἀσχημοσύνην ‖ 24 ὀξυωποῦσι] ὀξυωποιοῦσι ‖ κἂν] κᾆν, — ac similiter n. 66 κυβερνᾷν, 90 ἀφορᾷν, 128 ἐρυθριᾷν, 141 ζῇν, 175 νικᾷν, 221 πηδᾷν, 237 ἐξαπατᾷν, 244 ἐᾷν, 250 προτιμᾷν ‖ 27 αἰδεσθεῖσαι] αἰδεῖσθαι ‖ ἐπιστασίας (pro ἐπιστάντος)] ἐπιστασίᾳ ‖ 28 χρηματίσῃ] χρηματίσειεν ‖ 30 τεχνίτην] μάλιστα ὅτι τεχνίτην ‖ λογισμοὶ νήφοντες] λογισμὸς νηφαντὸς ‖ ὑποπλασμὸς] ὑποπιεσμὸς ‖ ἀναδοῦνται] ἀναδοῦντα ‖ 32 προσπαθείας] προσπαθείαις ‖ ἀντιπαθείας] ἀντιπαθείαις ‖ 33 ἐποχουμένων] ἐποχευομένων ‖ 40 πλατεῖαν] πλατείαν ‖ 41 καταπίπτουσι] ἀποπίπτουσι ‖ 42 οὐχ] οὐχὶ ‖ 43 ἀγριαίνει] ἀγραίνει ‖ ἠρεμεῖν] ἐρημεῖν ‖ 48 ἀριστερῶν] ἀριστέρων ‖ ὑγείαν] ὑγίειαν (cf. 77. 160. 186. 191. 207. 221) ‖ παραπλήσια] παραπλησία ‖ βυθὸν] βύθον ‖ ἐπιῤῥέῃ] ἐπιῤῥεῇ ‖ 49 τὸν νοῦν] τεινοῦν ‖ ὁμοίαν] ὅμοιαν ‖ διάθεσιν] διάθεσιν τὴν ψυχὴν ‖ ἀναζωγραφουμένη] ἀναζωγραφομένη ‖ 52 ἐνδεεῖς] ἐνδεῖς ‖ τῆς ἀπληστίας] ἀπληστίας ‖ 53 θολερὰ πηγὴ (θολερᾶ πηγῆ V)] δολερᾷ πηγὴ ‖ 54 ὥρκισας] ὁρκίσας ‖ ἑτέρῳ] ἐτέρῳ ‖ (καὶ)

κακίαν] κακίας ‖ 58 θεραπείαν] θεράπειαν ‖ 62 μαθεῖν μὲν] μαθεῖν ‖ 64 μάλιστά εἰσι τῆς ψυχῆς] μάλιστα ψυχῆς εἰσὶ ‖ θεαμάτων] δραμάτων ‖ οὐδὲ οἱ πικροὶ] οὔτε πικροὶ ‖ 66 ὁ κυβερνήτης] κυβερνήτης ‖ ἀποβαλόντες] ἀποβάλλοντες ‖ 70 κρεῖσσόν] κρεῖττόν ‖ μηδὲ] μὴ ‖ 77 σιτίων] σιτιῶν ‖ αὐτάρκεια] αὐταρκεία ‖ ὑγείαν] ὑγίειαν; cf. n. 48 ‖ ἀναπλήρωσίς] ἀποπλήρωσίς ‖ 79 τοὺς] τὰ (propter ἀγαθῶν) ‖ μὴ οὐχὶ] οὐχὶ ‖ 84 ἐπιτείνεται] ἐκτείνεται ‖ 85 γυμνάσιον] γυμνασίαν ‖ 90 περιπέσῃ] περιπεσεῖ ‖ φύσεως ἴδιον] φύσεως ‖ 97 περιουσίᾳ] τῇ περιουσίᾳ ‖ 100 ἐδύνω] ἐδύνου ‖ 104 χαρίεντα] χαριέντα ‖ 105 ἀπεστέρησεν] ἀπεστέρησε ‖ χαλεπώτερον] ἐστὶ χαλεπώτερον ‖ 106 παραμείνῃ (παραμένῃ V)] παραμενεῖ; cf. n. 157 ‖ 107 ὃς] ὁ (omnibus locis) ‖ 108 μόνον] μόνων ‖ 110 πρὸ γήρως] πρὸς γήρως ‖ 115 ἐπιείκεια] ἐπιεικείᾳ ‖ 118 αὐτάρκη] αὐταρκῆ ‖ 121 ἐκεῖνος] ἕκαστος ‖ 128 αὐχὴν] τράχηλος ‖ 129 κακίαν] κακὸν ‖ 133 πρὸς σὲ] πρός σε ‖ κατὰ βραχὺ] μετὰ βραχὺ ‖ 135 οὐκ (altero loco)] καὶ οὐκ ‖ 138 εὐκόλως ἐξαγορεύει] ἐξαγορεύει ‖ 142 ἀναδώσει] ἀναδύσει ‖ ἐκδιηγήσεται] ἐκδιηγήσονται ‖ 147 εὐθεῖαν] εὐθείαν ‖ 148 ἐπίδειξις] ἀπόδειξις ‖ 151 κυβερνωμένη] κυβερνωμένοις ‖ 157 παραμείνῃ] παραμένει; cf. n. 106 ‖ 159 (εἰς) ἀχάριστα] ἀχάριστον ‖ ἀκούσῃ] ἀκούσεις ‖ 160 ἰατρείας] τῆς θεραπείας ‖ ὑγείαν] ὑγίειαν, — cf. n. 48 ‖ 161 πλοῖόν] πλεῖόν ‖ 164 ποὺς] ποῦς ‖ 165 ὅτε] ὅ τε ‖ ὅτε δ'] ὅ τε ‖ 166 εἰ μισουμένῳ] ἢ μισουμένῳ ‖ σὺ φιλιάζεις] φιλιάζεις ‖ 170 ἀδίκως] ἀδίκῳ ‖ 172 δ'] δὲ ‖ 174 ἔργοις σου] ἔργοις σοῦ ‖ 176 ἐποιήσαμεν] ἐποιήσομεν ‖ 177 δαιμόνων] τῶν δαιμόνων ‖ 179 ὀγκοῦται] ὀγκεῖται ‖ χλόη] χλοὴ ‖ 181 καθαιρήσειν (καθαιρήσεις V)] καθαιρήσων ‖ 182 μεγαλοφρονοίη] μεγαλοφρονείη ‖ 185 ἀποδιδόντας] ἀποδίδοντας ‖ 186 ὑγείαν] ὑγίειαν, — cf. n. 48 ‖ 188 μηδενὸς] οὐ μηδενὸς ‖ σαπρὰν — οἰκίαν] σαπρὰς — οἰκίας ‖ 189 πολυμαθία (πολυμάθεια V)] πολυμαθεία ‖ δεξιὸν] ἔμφρονα ‖ φωνοῦντα] φοροῦντα ‖ οὗτος] οὗτός ἐστιν, — cf. n. 190 ‖ 190 ὡς ἔστιν ἀνθρώπῳ] ἀνθρώπῳ (nimirum Hergenroether ad finem sententiae praecedentis traxit: ἔστιν) ‖ θῆρες μὲν] θῆρες ‖ ἃ φρονοῦσιν] ἀφρονοῦσιν ‖ 191 κρεῖττον] κρεῖττον μὲν ‖ ὑγείαν] ὑγίειαν, — cf. n. 48 ‖ ψυχὴ] ψυχὴν ‖ εὐδαίμονα] εὐδαιμόνα ‖ τοῖς ἐκτὸς ᾖ] εἴη τέως ἐκτὸς ᾖ (sic) ‖ χρυσᾶ] χρυσὰ ‖ ὅσῳ περ ἂν] ὅσῳπερ ‖ 201 μιμοῦ] μίμου ‖ 203 ὀπώραν] σπορὰν ‖ 207 ὑγείαν] ὑγίειαν ‖ ὑγείας] ὑγιείας, — cf. n. 48 ‖ 216 ἀναγκαῖαι δὲ] ἀναγκαῖαι ‖ 218 ἀργυροῦς (ἀργυροὺς V)] ἀργύρους ‖ 223 εὔχρηστον] εὐχρηστὸν ‖ 224 λόγου] τοῦ λόγου ‖ 232 δυνάστας] δυναστὰς ‖ τὸ αὐτῶν ταλαίπωρον] αὐτῶν ταλαίπωρον ‖ 233 ἐπαίνου (ἐπαίνους V) τινὲς] ἐπαινούς τινες ‖ ἄλλαι] ἄλλοι ‖ 235 οἶνος] ὁ οἶνος ‖ κοιμίζει] κομίζει ‖ 237 ὡς κάλλιστον] τὸ κάλλιστον ‖ 242 γυμνασίων] γυμνασιῶν ‖ οὔτε τι] οὔτέ τέ τι ‖ 246 κάκιόν ἐστι] κακίον ἐστὶ ‖ 249 μακάριε, φησὶν] μακάριέ φησιν ‖ 250 γίνεσθαι] γενέσθαι ‖ 252 ἐκφέρουσι] ἐκφέρουσιν.

Appendix Gnomica (ad n. 1 p. 2).

Praeter n. 1—4 in M desiderantur sententiae quinquaginta (49. 50. 51. 52. 118. 119. 121. 133. 134. 135. 136. 137. 138. 139. 142. 143. 144. 146. 147. 150. 151. 153. 155. 159. 160. 163. 164. 165. 168. 169. 170. 171. 172. 173. 174. 175. 176. 177. 178. 179. 180. 181. 182. 183. 184. 185. 186. 187. 188. 190); quodsi libellum inscriptione carere reputamus, dubitari non potest, quin sylloges initium casu exciderit. Accedit, quod f. 19^{v} manifesta hiatus indicia offert, cum Gnomologio, quod inde a f. 18^{v} principio mancum exhibetur, praematurum finem imponat.

Integrum corpusculum servat V (f. 63^{v} sqq.), extrema parte mutilatum praebet F (= codex Laurentianus Plut. LXXXVI n. 8, chartaceus in 4°, s. XV) f. 314^{r} sqq., qui ex M fluxit. Contextum si spectas, plurima apophthegmata verbis plus minusve variatis alibi reperies. Inprimis commemoranda sunt Gnomologia duo, alterum Vindobonense (V i n d.), a C. Wachsmuthio evulgatum [1]), Vaticanum alterum (Vat.), quod ipse in lucem protraxi [2]). Quos testes primarios adcurate excussi, omnino in editione adornanda hanc rationem persecutus, ut nostrae tantummodo symbolae iam conlatae respicerentur. Quapropter etiam duo Photii opuscula, quorum prius „Curis Menandreis“ [3]) subiunxi, posterius Appendici nostrae praemisi, in censum veniunt.

---

[1]) 'Die Wiener Apophthegmensammlung herausgegeben und besprochen von Curt Wachsmuth. Festschrift zur Begrüssung der in Karlsruhe vom 27. bis 30. September 1882 tagenden XXXVI. Philologen-Versammlung' p. 3 sqq.

[2]) 'Wiener Studien' vol. IX (1887) p. 175—206, X (1888) p. 1—49 et p. 211—260, XI (1889) p. 43—64 et p. 192—242.

[3]) 'Rozprawy Wydziału filologicznego Akademii Umiejętności' vol. XVII (1892) p. 229 sqq.

1) Ἀλέξανδρος ὁ Μακεδὼν παράγγελμα ἔλαβε, δυνάμενος ὁδεῦσαι ἵνα μὴ πλεύσῃ, καὶ καθ' ἑκάστην ἡμέραν διατίθεσθαι, καὶ γυναικὶ ἀπόῤῥητα μὴ πιστεῦσαι, καὶ ἐὰν ὀργισθῇ κατά τινος μὴ ποιῆσαι εἰς αὐτὸν ἐπεξέλευσιν, πρὶν ἂν ἀπαγγείλῃ τὰ εἴκοσι τέσσαρα στοιχεῖα τοῦ ἀλφαβήτου.

2) Ὁ αὐτὸς εἰπόντος αὐτῷ τινος ὅτι δύνανται αἱ πόλεις σου πλείονάς σοι παρέχειν προσόδους ἔφη· καὶ κηπουρὸν μισῶ τὸν ἐκ ῥιζῶν τέμνοντα τὰ λάχανα.

3) Ὁ αὐτὸς ἐρωτηθείς, τίνα μᾶλλον ποθεῖ, τὸν πατέρα Φίλιππον ἢ Ἀριστοτέλην τὸν διδάσκαλον, ἔφη· τὸν διδάσκαλον· ὁ μὲν γὰρ πατὴρ αἴτιος τοῦ γενέσθαι, ὁ δὲ διδάσκαλος τοῦ καλῶς γενέσθαι πρόξενος.

Testimonia:

1) Vind. 13, Vat. 102: ἔλαβε] ἔλαβεν ὅτι ‖ δυνάμενος — πλεύσῃ] ἐὰν δύνῃ ὁδεῦσαι, μὴ πλεύσῃς ‖ καὶ om. ‖ διατίθεσθαι] διατίθου Vat., δὲ διατίθου Vind. ‖ καὶ om. ‖ μὴ πιστεῦσαι] μὴ θαῤῥήσῃς (in Vind. θαῤῥήσῃς, non θαῤῥήσας compendio exprimitur) ‖ ὀργισθῇ] ὀργισθῇς ‖ μὴ ποιῆσαι] μὴ ποιήσῃς ‖ αὐτὸν] ἑαυτὸν Vind. ‖ ἐπεξέλευσιν] om. Vat., sed lacunam vacuum indicat spatium; ἐξέλευσιν Vind. ‖ ἂν om. Vind. et (duarum litterarum spatio relicto) Vat. ‖ ἀπαγγείλῃ] ἀπαγγείλῃς Vat., ἀπαγγείλεις Vind. ‖ τὰ — ἀλφαβήτου om. Vat., ubi hiatus clare significatur.

2) Vind. 14: πλείονάς σοι] πλείονας Vind., unde Wachsmuthius αἱ πόλεις σοι (pro αἱ πόλεις σου) corrigendum esse duxit ‖ προσόδους] εἰσόδους ‖ κηπουρὸν] κηπωρὸν in Vind. extare ego testor.

3) Vind. 16: πατὴρ αἴτιος om. ‖ διδάσκαλος om. ‖ καλῶς γενέσθαι πρόξενος] καλὸς (non καλὸν) δεῖ γενέσθαι αἴτιος. — Aliter Vat. 87: ὁ αὐτὸς ἐρωτηθείς, τίνα μᾶλλον ἀγαπᾷ, Φίλιππον ἢ Ἀριστοτέλην, εἶπεν· ὁμοίως ἀμφοτέρους· ὁ μὲν γάρ μοι τὸ ζῆν ἐχαρίσατο, ὁ δὲ τὸ καλῶς ζῆν ἐπαίδευσεν.

Adnotatio critica: 1) Ἀλέξανδρος — διατίθεσθαι om. M; scilicet f. 18 octo columnas maligna manus abscidit, unde et f. 18^{r} nostri effati pars excidit (f. 18^{v} inc. καὶ γυναικὶ) et f. 18^{v} apophthegmata quaedam iacturam fecerunt, quam ad n. 9 significavi ‖ πλεύσῃ MFV; in F saepius ι subscriptum comparet, in M nonnumquam ι adscriptum legitur, — qua de re semel monuisse satis habeo ‖ διατίθεσθαι] διατιθέσθω F ‖ πιστεῦσαι acc. m. rec. M ‖ ὀργισθῇ] ὀργισθῆς MF ‖ ποιῆσαι] ποιήσῃς MF ‖ ἐπεξέλευσιν] ἐξέλευσιν V ‖ πρὶν inc. f. 63^{v} V ‖ ἀπαγγείλῃ] ἀπαγγέλῃ F.

2) τινὸς M ‖ πλείονας σοι MFV ‖ κηπουρὸν] κηπωρὸν V, qui arcto adfinitatis vinculo cum Vind. est coniunctus, cum codices MF proxima cognatione Gnomologium Vaticanum (Vat.) adtingant ‖ ἐκριζῶν M ‖ τέμνοντα] ἐκτέμνοντα V.

3) διδάσκαλον acc. m. rec. M ‖ ἔφη· τὸν διδάσκαλον· ὁ μὲν γὰρ πατὴρ] ὁ μὲν γὰρ πατήρ, ἔφη F, ὁ μὲν γὰρ πατὴρ M.

4) Ὁ αὐτὸς βαρύ τι ἐπιταττούσης αὐτῷ τῆς μητρὸς Ὀλυμπιάδος πικρόν, ὦ μῆτερ', ἔφη, ἐνοίκιον τῆς ἐννεαμήνου με ἀπαιτεῖς'.

5) Ὁ αὐτὸς σφαιρίσας μετά τινος νεανίσκου ἐδωρήσατο αὐτῷ τάλαντον· τῶν δὲ φίλων λεγόντων ὅτι 'πλέον τοῦ δέοντος ἔδωκας', 'οὐ τοῦτό με δεῖ' ἔφη 'σκοπεῖν, πόσον ἐκεῖνος ἄξιος ἦν λαβεῖν, ἀλλ' ὁπόσον ἐμὲ παρασχεῖν'.

6) Ὁ αὐτὸς εἰπόντος Ἀναξιμένους· 'ἐὰν πᾶσι πολλὰ διδῷς, οὐχ ἕξεις τοῦτο ποιῆσαι διὰ παντὸς' ἔφη· 'οὐδέ γε, ἐὰν παύσωμαι, μόνος πάντα ἔχειν δυνήσομαι πολὺν χρόνον'.

7) Ὁ αὐτὸς παρακαλούμενος ὑπὸ τῶν φίλων χρήματα συνάγειν ἔφη· 'οὐδὲν ὠφέλησεν οὐδὲ Κροῖσον, πολύχρυσον γεγονότα καὶ δέσμιον ἁπαχθέντα'.

8) Ἀναξαγόρας πρὸς τὸν δυσφοροῦντα καὶ ἀνιώμενον, ὅτι ἐπὶ ξένης μέλλει τελευτᾶν, 'πανταχόθεν' ἔφη 'ὁμοία ἐστὶν ἡ εἰς Ἅιδου κάθοδος'.

9) Ἀντίγονος ὁ βασιλεὺς θύων ηὔχετο τῷ θεῷ φυλάττειν αὐτὸν ἀπὸ τῶν δοκούντων εἶναι φίλων· πυνθανομένου δέ τινος, διὰ ποίαν αἰτίαν τοιαύτην ποιεῖται εὐχήν, 'ὅτι ἀπὸ τῶν ἐχθρῶν' ἔφη 'ἐγὼ φυλάξομαι'.

Testimonia:

4) Vind. 18 (quam sententiam in codice ante n. 17 conlocatam esse moneo): πικρόν, ὦ μῆτερ, ἔφη, ἐνοίκιον] ἔφη· ὦ μῆτερ, πικρόν γε ἐνοίκιον. — Cf. Vat. 75 ὁ αὐτὸς πικρότερόν τι (πικρότερον Cod.) αὐτῷ ἐπιτασσούσης Ὀλυμπιάδος τῆς μητρὸς εἶπεν· 'βαρύ γε ἐνοίκιον τῆς δεκαμήνου (δεκαμίνου Cod.) ἀπαιτεῖς.

5) Vat. 81: λεγόντων] λεγόντων λεγόντων (sic) ‖ δεῖ, ἔφη, σκοπεῖν] δεῖ σκοπεῖν, ἔφη ‖ ἀλλ' ὁπόσον] ἀλλὰ πόσον.

6) Vat. 85: οὐχ ἕξεις] οὐ δυνήσῃ ‖ ποιῆσαι] ποιεῖν ‖ πάντα] παντ'.

7) Vind. 31, Vat. 90: χρήματα συνάγειν] συνάγειν χρήματα ‖ ἔφη] εἶπεν ‖ ὠφέλησεν] ὤνησεν ‖ Κροῖσον] τὸν Κροῖσον Vind. ‖ πολύχρυσον — ἁπαχθέντα om.

8) Vind. 33, Vat. 115: καὶ ἀνιώμενον om. ‖ ξένης] ξένοις Vind. ‖ μέλλει τελευτᾶν] τελευτᾷ Vind., ἐτελεύτα Vat. ‖ ἐστὶν] om. Wachsmuthius, non Vind.

9) Vind. 39, Vat. 107: θύων ηὔχετο τῷ θεῷ] θύων ηὔχετο τοῖς θεοῖς Vind.. ᾔτει τὸ θεῖον εὐχόμενος Vat. ‖ πυνθανομένου] πυθομένου Vat.

---

4) με om. V.

5) ὅτι — ἔδωκας] τί — ἔδωκας; F ‖ ἔδωκας] δέδωκας V ‖ τοῦτό με] τοῦτο με M, τοῦτό μοι V ‖ πόσον] οὐδ' ὅσον F (sed οὐδ' in rasura librarius reposuit).

6) διδῷς] δίδως MFV ‖ τοῦτο inc. f. 314ᵛ F ‖ διαπαντὸς M ‖ ἔφη om. V ‖ παύσωμαι] παύσομαι M.

7) inc. f. 64ʳ V ‖ ἔφη] in sententiae exitu conlocat V.

8) μέλλει] ἔμελλε FV ‖ ἡ om. MV.

9) αὐτὸν — φυλάξομαι om. M, ubi f. 18ᵛ octo prioris columnae lineas perdidit; desunt etiam n. 10 et 11, tum n. 12 usque ad καὶ τῶν ὑπὸ γαστέρα ‖ εὐχήν] τὴν εὐχήν V.

10) Ἀνάχαρσις ἐρωτηθείς, πῶς οὐκ ἂν γένοιτό τις φιλοπότης, εἰ πρὸ ὀφθαλμῶν ἔχοι· ἔφη 'τὰς τῶν μεθυόντων ἀσχημοσύνας'.

11) Ἀνάχαρσις ἐρωτηθείς, τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον, ἔφη· 'γλῶσσα'.

12) Ὁ αὐτὸς ἐπήνει τὸν γλώσσης καὶ κοιλίας καὶ τῶν ὑπὸ γαστέρα κρατοῦντα· τοῦτο δὲ αὐτὸς καὶ ἐν ὕπνῳ ἐδίδαξεν· ἑστιαθεὶς γάρ ποτε παρὰ Σόλωνι καὶ καθεύδων ὤφθη τὴν δεξιὰν χεῖρα ἔχων ἐπὶ τοῦ στόματος, τὴν δὲ ἀριστερὰν ἐπὶ τῶν ὑπὸ γαστέρα.

13) Ἀριστοτέλης ὁ φιλόσοφος ἐρωτηθείς, τί ἄνθρωπος ἔχει ὅμοιον Θεῷ, ἔφη· 'τὸ εὐεργετεῖν'.

14) Ὁ αὐτὸς ἐρωτηθείς, τί ἐστι φίλος, ἔφη· 'μία ψυχὴ ἐν δυσὶ σώμασιν οἰκοῦσα'.

15) Ὁ αὐτὸς ἐρωτηθείς, τί τάχιστα γηράσκει, εἶπε· 'χάρις'.

Testimonia:

‖ τοιαύτην] τὴν αὐτὴν Vind. ‖ ποιεῖται εὐχὴν] εὐχὴν ποιεῖται ‖ ἔφη] ante ὅτι exhibet Vind., post ὅτι Vat. ‖ ἀπὸ τῶν ἐχθρῶν] τοὺς ἐχθροὺς ‖ φυλάξομαι] φυλάσσομαι Vind.

10) Vind. 57: ἔφη] ante εἰ ponitur ‖ ἔχοι] ἔχει.

11) Vind. 62, Vat. 131.

12) Vind. 68 (ex parte) et Vat. 136: ἐπήνει] ἐπόνει Vind. ‖ καὶ τῶν ὑπὸ γαστέρα] καὶ αἰδοίων Vat., αἰδοῖ Vind. ‖ τοῦτο δὲ αὐτὸς καὶ ἐν ὕπνῳ ἐδίδαξεν] καὶ μάλιστα γλώσσης Vind., καὶ μάλιστα γλώσσης· ὅπερ δὴ καὶ ἐν τῷ ὑπνοῦν ἐδείκνυεν Vat. ‖ ἑστιαθεὶς — ἐπὶ τῶν ὑπὸ γαστέρα om. Vind. ‖ post γαστέρα Vat. addit: ταύτῃ δηλῶν, ὡς πολλῷ μεῖζόν ἐστι γλώσσης κρατεῖν ἢ τῶν ὑπὸ γαστέρα.

13) Vind. 71, Vat. 53: ἐρωτηθείς] ἐρωτηθεὶς ὑπό τινος Vat. ‖ ἔχει ὅμοιον] ἴσον ἔχει Vat. ‖ ἔφη] εἶπε Vat.

14) Vind. 72, Vat. 137: ἐν δυσὶ σώμασιν οἰκοῦσα] ἐν δυσὶ σώμασι Vind.

15) Vind. 73, Vat. 138: γηράσκει] γηράσκειν Vind.

---

10) praeter M (cf. ad n. 9) om V, ubi praeterea desiderantur n. 15. 17. 23. 24. 28. 29. 31. 38. 42. 45. 50. 51. 54. 62. 65. 69.

11) om. M; cf. ad n. 9 ‖ ἀγαθόν τε] ἀγαθόν τι F.

12) ὁ αὐτὸς — καὶ τῶν ὑπὸ γαστέρα om. M (cf. ad n. 9) ‖ τῶν ὑπὸ γαστέρα] τὸν ὑπογαστέρα V ‖ αὐτὸς] ὁ αὐτὸς V ‖ ἐδίδαξε V ‖ Σόλωνι] Σολόμωνι V a m. pr. (ut videtur) ‖ ὑπογαστέρα M (a m. pr.) et V.

14) σώμασιν inc. f. 64^{v} V.

15) om. V.

16) Ὁ αὐτὸς τὰς εὐειδεῖς ἑταιρίδας ϑανάσιμον ἔλεγε μελίκρατον εἶναι.

17) Ὁ αὐτὸς εἶπεν ὅμοιον εἶναι τὸν τῶν ἀνϑρώπων βίον σικύῳ· ἑκάτερα γὰρ αὐτοῦ τὰ ἄκρα πικρὰ τυγχάνει.

18) Ὁ αὐτὸς εἶπε τοὺς ἀπαιδεύτους μόνῃ τῇ μορφῇ διαφέρειν τῶν ϑηρίων.

19) Ὁ αὐτὸς ϑεασάμενός τινα ταῖς τοῦ πατρὸς ἀπειλαῖς ἀχϑόμενον εἶπε· μὴ εἰς τοὺς λόγους αὐτοῦ ἀπόβλεπε, μειράκιον, ἀλλ᾽ εἰς τὰ σπλάγχνα.

20) Ἀριστείδης ὁ δίκαιος ὀνειδιζόμενος ἐπὶ πενίᾳ ὑπό τινος τῶν πλουσίων εἶπεν· ἐμοὶ μὲν ἡ πενία οὐδὲν συνιστορήσει κακόν, σοὶ δὲ ὁ πλοῦτος πολλά.

21) Αἴσωπος ὀνειδιζόμενος, ὅτι χαλεπὴν ἔχει τὴν ὄψιν, μή μου <εἰς> τὸ εἶδος ἔφη ἀλλ᾽ εἰς τὸν νοῦν πρόσεχε.

22) Ὁ αὐτὸς ἀγόμενος ὑπὸ τοῦ δεσπότου εἰς μυλῶνα ἠρώτα· τί με ἄγεις; ὁ δὲ εἶπεν· ἵνα χρήσιμος γένῃ· τί οὖν φησὶν οὐχὶ καὶ τοὺς υἱούς σου ὧδε ἄγεις;

23) Ὁ αὐτὸς πυνϑανομένου τυράννου, τί δήποτε οὐχ οἱ πλούσιοι πρὸς τοὺς σοφοὺς ἀπίασιν, ἀλλ᾽ ἀνάπαλιν, εἶπεν· ὅτι οἱ σοφοὶ μὲν ἴσασιν, ὧν ἐστιν αὐτοῖς χρεία πρὸς τὸν βίον, οἱ δὲ οὐκ ἴσασιν, ἐπεὶ χρημάτων μᾶλλον ἢ σοφίας ἐπεμελοῦντο.

Testimonia:

16) Vind. 76, Vat. 142: ϑανάσιμον ἔλεγε μελίκρατον] ἔλεγε ϑανάσιμον μελίκρατον Vat., ἔλεγε ϑανάσιμα μελίκρατα Vind.

17) Vat. 143: εἶπεν] ἔφησεν ‖ ἑκάτερα] ἑκατέρωϑεν rectius ‖ τυγχάνει] τυγχάνουσιν.

18) Vind. 80, Vat. 146: διαφέρειν τῶν ϑηρίων] τῶν ϑηρίων διαφέρειν.

19) Vind. 86 (inter Aristidis apophthegmata), Vat. 54.

20) Vind. 84, Vat. 47: ὀνειδιζόμενος] ὀνειδιζόμενός ποτε Vat. ‖ ὑπό τινος τῶν πλουσίων] om. Vat., ὑπό τινος πλουσίου Vind. ‖ ἐμοὶ] ἀλλ᾽ ἐμοὶ Vat. ‖ συνιστορήσει] συνιστορεῖ Vat. ‖ σοὶ] σοῦ Vind.

21) Vind. 89: εἰς τὸ εἶδος] τὸ εἶδος.

22) Vind. 90, Vat. 124: οὐχὶ] οὐ Vind. ‖ ὧδε] ἐνϑάδε Vind.

23) Vind. 97 et Vat. 6 inter Antisthenis effata (cf. n. 24), quae

---

16) ἑταιρίδας] ἑταίρας M.

17) om. V ‖ σικύῳ] συκίω F ‖ ἑκάτερα] ἑκάτερον F.

19) ἀχϑόμενον] ἀχνύμενον F.

20) πλουσίων] πλησίον V.

21) εἰς addidi; cf. n. 19 ‖ εἶδος] ἦϑος F a m. pr. ‖ ἔφη post ὄψιν offert M ‖ ἀλλὰ MF.

22) μυλῶνα] μύλωνα MF.

23) om. V ‖ πυνϑανομένου] πυνϑανόμενος MF ‖ ἀπίασιν] ἀπιᾶσιν MF ‖ εἶπεν] in M evanuit; idem in alia verba cadit, quo de habitu codicis semel monuisse sufficiat ‖ ἔστιν M ‖ χρημάτων μᾶλλον ἢ σοφίας] σοφίας μᾶλλον ἢ χρημάτων MF.

24) Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος, πῶς ἂν προςέλθοι πολιτείᾳ, ἔφη· 'μήτε λίαν ἐγγύς, ἵνα μὴ κατακαῇ, μήτε πόῤῥω, ἵνα μὴ ῥιγοῖ'.

25) Αἰσχίνης ὁ ῥήτωρ, ἐκπεσὼν τῆς πατρίδος, παραγενόμενος εἰς Ῥόδον ἐσοφίστευσεν· ἐλθόντος δέ ποτε Δημοσθένους εἰς Ῥόδον καὶ ἀσπασαμένου αὐτὸν καὶ δραχμαῖς χιλίαις τιμήσαντος, δεξάμενος τὰ χρήματα ἐδάκρυσε· τοῦ δὲ παρακαλοῦντος αὐτὸν θαῤῥεῖν, ἴσως καὶ κάθοδον αὐτῷ διὰ τῆς σπουδῆς πέμπειν 'οὐ μέλλω' ἔφη 'δακρύειν, τοιαύτης πατρίδος ἐστερημένος, ἐν ᾗ καὶ οἱ ἐχθραίνοντές εἰσι τοιοῦτοι, ὥστε καὶ βοηθεῖν βούλεσθαι;'

26) Ἀρίστιππος ὁ Κυρηναῖος λαμβάνειν ἔλεγε μισθὸν παρὰ τῶν μαθητῶν ὑπὲρ τῶν μαθημάτων, οὐχ ὅπως τὸν βίον ἐπανορθώσῃ, ἀλλ' ὅπως ἐκεῖνοι μάθωσιν εἰς τὰ καλὰ δαπανᾶν.

27) Ὁ αὐτὸς ἀνθρώπου τινὸς αὐτὸν ἀδικήσαντος καὶ περιφεύγοντος καὶ ἁπανταχῆ διατρεπομένου συντυχὼν ἅπαξ εἶπεν· 'οὐ σὲ χρὴ ἐμὲ φεύγειν, ἀλλ' ἐμὲ σὲ ὄντα φαῦλον'.

28) Ὁ αὐτὸς Πλάτωνος εἰςελθόντος πρὸς αὐτὸν ἀσθενοῦντα καὶ πυθομένου, πῶς διάγοι, ἔφη τὸν μὲν σπουδαῖον καὶ πυρέττοντα καλῶς ἔχειν, τὸν δὲ φαῦλον καὶ ὑγιαίνοντα κακῶς.

Testimonia:

quidem in Vind. Aesopi sententias (89—94) excipiunt (95—100) ‖ τυράννου] τοῦ τυράννου ‖ χρημάτων μᾶλλον ἢ σοφίας] μᾶλλον χρημάτων ἢ σοφίας Vind., μᾶλλον σοφίας ἢ χρημάτων Vat. ‖ ἐπεμελοῦντο] ἐπιμελοῖντο Vind.

24) Vind. 98 et Vat. 8 inter Antisthenis apophthegmata; cf. n. 23 ‖ προςέλθοι] προςέλθῃ Vind. ‖ ῥιγοῖ] ῥαγῇ Vind.

25) Vind. 104, Vat. 62: ἐσοφίστευσεν] ἐσοφίστευεν ‖ δὲ] οὖν ‖ Δημοσθένους] τοῦ Δημοσθένους Vat. ‖ αὐτὸν] αὐτῷ Vind. ‖ οὐ μέλλω — βούλεσθαι om. Vind., ubi post πέμπειν aliquot folia exciderunt ‖ ἐχθραίνοντες] ἐχθρεύοντες Vat.

26) Vat. 24: λαμβάνειν ἔλεγε μισθὸν παρὰ τῶν μαθητῶν ὑπὲρ τῶν μαθημάτων] παρὰ τῶν μαθητῶν λαμβάνειν ἔφασκε μισθόν.

27) Vat. 27: τινὸς om. ‖ διατρεπομένου] διατρεπόμενον (quod correxi).

28) Vat. 30: ἀσθενοῦντα] μαλακῶς ἔχοντος (l. ἔχοντα) ‖ διάγοι] διάγει ‖ ὑγιαίνοντα] μὴ πυρέττοντα.

---

24) om. V.

25) (παραγενό)μενος inc. f. 19^{r} M ‖ ἐσοφίστευσεν· ἐλθόντος δέ ποτε Δημοσθένονς εἰς Ῥόδον] ἐσοφίστευε MF ‖ καὶ κάθοδον inc. f. 65^{r} V, sed καὶ etiam in fine folii 64^{v} extat ‖ οἱ om. V ‖ τοιοῦτοι] τοιούτοι M, καὶ τοιοῦτοι V.

26) Κυρηναῖος M, sed η pro ι m. rec. restituit ‖ παρὰ τῶν μαθητῶν] om. MF, ὑπὸ τῶν μαθητῶν V ‖ ὑπὲρ τῶν μαθημάτων om. V.

27) αὐτὸν ἀδικήσαντος] ἀδικήσαντος αὐτὸν V ‖ ἅπαξ inc. f. 315^{r} F.

28) om. V.

29) Ὁ αὐτὸς ἐρωτηθείς, τί περιγέγονεν αὐτῷ ἐκ φιλοσοφίας, ἔφη· ‘τὸ ἀδεῶς τοῖς ἐντυγχάνουσιν ὁμιλεῖν’.

30) Βίαντι τῷ σοφῷ εἰπόντος τινός, ὅτι ὁ δεῖνα περὶ σοῦ κακὰ λέγει, εἶπεν· ‘οἱ τὰς μαχαίρας ποιοῦντες οὐκ αὐτοὶ ἀποκτείνουσιν, ἀλλ’ οἱ χρώμενοι αὐταῖς ὑπὸ ἄλλων κατεσκευασμέναις· κἀμὲ νῦν οὐκ ἐκεῖνος λέγει κακῶς, ἀλλὰ σὺ ὁ χρώμενος τῇ ἐκείνου βλασφημίᾳ’.

31) Ὁ αὐτὸς εἰπόντος αὐτῷ τινος· ‘λαλεῖς σὺ ἀπὸ τοιούτων γονέων γεγονώς;’ ‘ἀπ’ ἐμοῦ με’ εἶπεν ‘ἀρίθμει’.

32) Διογένης καταμαθών τινα τῶν γνωρίμων μοχθηροῖς ἀνθρώποις ὁμιλοῦντα ‘ἄτοπόν γε’, εἶπεν, ‘εἰ πλεῖν μὲν βουλόμενοι σύμπλους βελτίστους ἐπιλεξόμεθα, βιοῦν δὲ ὀρθῶς προαιρούμενοι κοινωνοὺς τοῦ βίου τοὺς τυχόντας αἱρησόμεθα’.

33) Ὁ αὐτὸς θεασάμενος μειράκιον ἄσωτον δεδαπανηκὸς τὰ πατρῷα καὶ ἄρτον μόνον ἐσθίον καὶ ὕδωρ πῖνον ἔφη· ‘εἰ οὕτω κατὰ γνώμην ἠρίστας, οὐκ ἂν οὕτω κατ’ ἀνάγκην ἐδείπνεις’.

34) Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος, διὰ τί ἐστι τὸ χρυσίον ὠχρόν, ἔφη· ‘ὅτι πολλοὺς ἔχει τοὺς ἐπιβουλεύοντας’.

35) Ὁ αὐτὸς θεασάμενος ἑταιρίδος υἱὸν λίθους εἰς ὄχλον βάλλοντα ‘οὐκ εὐλαβῇ’, ἔφη, ‘μή σου τὸν πατέρα πλήξῃς;’

Testimonia:

29) Vat. 36: περιγέγονεν αὐτῷ] αὐτῷ περιγέγονεν.

31) Vat. 151: λαλεῖς] καὶ λαλεῖς.

32) Vat. 197: βουλόμενοι] βουλόμενος ‖ προαιρούμενοι] προαιρουμένοις.

33) Vat. 169: δεδαπανηκὸς] δεδαπανηκῶς ‖ καὶ ἄρτον μόνον] καὶ ἐλαίας καὶ ἄρτον ‖ ὕδωρ πῖνον] πίνοντα ὕδωρ ‖ οὕτω — οὕτω] οὕτως — οὕτως ‖ ἐδείπνεις] ἠρίστας.

34) Vat. 172: ἐστι τὸ χρυσίον ὠχρὸν] χρυσίον ὠχρόν ἐστιν ‖ ἔχει τοὺς ἐπιβουλεύοντας] ἐπιβούλους ἔχει.

35) Vat. 178: ὄχλον] ὄχλους ‖ ἔφη] ἔφη, σύ.

---

29) om. V.

30) Βίαντι] Βία FV, Βια M ‖ κακὰ] τάδε κακὰ V ‖ ἀποκτείνουσιν] ἀποκτένουσιν MFV, quae scriptura sequioris aevi auctorem prodit ‖ ὑπἄλλων V.

31) om. V ‖ τινὸς M ‖ ἀπἐμοῦ M.

32) καταμαθὼν τινὰ M ‖ ἐπιλεξόμεθα] ἐπιλεξώμεθα MF, ἐπιλεξοίμεθα V ‖ τοὺς τυχόντας] τυχόντας V.

33) πίνον MFV ‖ οὕτω — οὕτω] οὕτως — οὕτως M ‖ ἀνάγκην spir. m. rec. M.

34) διατί M ‖ τὸ χρυσίον] χρυσίον F.

36) Ὁ αὐτὸς προσελθόντος αὐτῷ τινος καὶ λέγοντος ὅτι ὁ δεῖνά σε κακῶς λέγει· εἶπε· μὴ θαύμαζε· καλῶς γὰρ λέγειν οὐκ ἔμαθεν.

37) Ὁ αὐτὸς ἔφασκεν ἡδονὴν ἀληθινὴν εἶναι τὸ τὴν ψυχὴν ἐν ἡσυχίᾳ καὶ ἱλαρότητι ἔχειν· ἄνευ γὰρ τούτου οὐδὲ τὰ Μίδου οὐδὲ τὰ Κροίσου χρήματα ὠφέλιμά ἐστιν· ἐὰν δέ τις ἢ ὑπὲρ μεγάλου ἢ ὑπὲρ μικροῦ λυπῆται, οὐκ εὐδαίμων, ἀλλὰ κακοδαίμων ἐστίν.

38) Ὁ αὐτὸς ἀκούσας τινὸς λέγοντος, ὅτι χαλεπόν ἐστι τὸ ζῆν, οὐ μὲν οὖν ἔφη τὸ ζῆν κακόν, ἀλλὰ τὸ ζῆν κακῶς.

39) Ὁ αὐτὸς ἐρωτηθείς, πῶς ἄν τις ἀμύνοιτο τὸν ἐχθρόν, ἔφη· εἰ σὺ καλὸς καὶ ἀγαθὸς γένοιο.

40) Ὁ αὐτὸς ἐρωτηθείς, τί κακὸν ἐν βίῳ, ἔφη· γυνὴ καλὴ τῷ εἴδει.

41) Διογένης Ἀριστίππου θεασαμένου ποτὲ αὐτὸν ἐπὶ κρήνης λάχανα ἄγρια πλύνοντα καὶ εἰπόντος· ὦ Διόγενες, εἰ αὐλὰς πλουσίων ἐθεράπευες, οὐκ ἂν ταῦτα ἤσθιες· σὺ μέν, ὦ Ἀρίστιππε, ἔφη, εἰ ταῦτα ἤσθιες, οὐκ ἂν αὐλὰς τυράννων ἐθεράπευες.

42) Ὁ αὐτὸς ἐπί τινος ἐκφορᾶς θεασάμενος τὴν τοῦ μετηλλαχότος μητέρα τιλλομένην τὰς τρίχας καὶ βοῶσαν· ἀπώλεσα τὸν τροφέα καὶ γηροβοσκόν μου, ὁρᾶτε ἔφη τὸ γύναιον, πῶς οὐ τὸν υἱόν, ἀλλὰ τὸ βουκόλιον θρηνεῖ;

43) Δημοσθένης πρός τινα φιλογέωργον εἶπεν· ἐὰν μὴ σὺ τὸν ἀγρὸν ἀπολέσῃς, αὐτός σὲ ἀπολέσει· ἀπώλεια γὰρ ἀνθρώπων στέρησις παιδείας.

Testimonia:

36) Vat. 179: καλῶς γὰρ] καλῶς.

37) Vat. 181: γὰρ] δὲ ‖ ὠφέλιμά ἐστιν] ὠφέλημα εἶναι.

38) Vat. 183: ὅτι χαλεπόν ἐστι] ὡς χαλεπὸν.

39) Vat. 187: ἐρωτηθείς] ἐρωτώμενος ‖ ἀμύνοιτο] ἀμύνεται (quod in ἀμύναιτο mutavi) ‖ ἔφη] εἶπεν ‖ σὺ] σύ γε ‖ γένοιο] αὐτῷ γένοιο.

40) Vat. 189.

41) Vat. 192: πλουσίων] τυράννων ‖ ἤσθιες] πλησθείης ‖ μὲν] μὲν οὖν.

43) cf. quae de apophthegmate nostro ad Vat. 39 monui.

---

36) προσελθόντος] περιελθόντος **M** ‖ δεῖνα σε **M**.

37) ὠφέλιμά ἐστιν] ὠφελιμά εἰσιν **F**, ὠφέλημά ἐστιν **M** ‖ ἐὰν — ἐστὶν om. **M**.

38) om. **V** ‖ οὔμεν **M** ‖ τὸ ζῆν κακόν, ἀλλὰ om. **M** ‖ ἀλλὰ τὸ ζῆν inter lineas codicis **F** librarius supplevit.

39) ἀμύνοιτο] ἀμύναιτο **V**.

41) ποτὲ om. **V** ‖ ἐπικρήνης **M** a m. pr. ‖ Ἀρίστιππε inc. f. 66^{r} **V**.

42) om. **V** ‖ ὁ αὐτὸς] Διογένης **M** ‖ ἐπί τινος ἐκφορᾶς θεασάμενος] θεασάμενος ἐπί τινος ἐκφορᾶς **F** ‖ τιλλομένην] τιλλωμένην **F** ‖ γηροβοσκόν μου] γηρωβοσκόν (γηροβόσκον m. pr.) μου **M**, γηροβοσκούμενον **F** ‖ ὁρᾶτε acc. m. rec. **M** ‖ γύναιον] γάναιον **F**.

43) φιλογεωργὸν **MV** ‖ ἀπολέσῃς **M**, sed o pro ω reposuit m. rec. ‖ αὐτὸς σὲ ἀπολέσει] αὐτός σε ἂν ἀπολέσῃ **MF** (in **M** librarius ἀπωλέσῃ exaraverat, correxit m. rec.), αὐτό σε ἂν ἀπολέσῃ **V**.

44) Ὁ αὐτὸς ἔλεγε πάντων εἶναι δυςχερέστατον τὸ ἀρέσαι πᾶσιν.

45) Ὁ αὐτὸς ἔλεγε, τὸ μὲν κακὰ ὑπομεῖναι ἀνδραπόδου εἶναι, τὸ δὲ ἀγαθὰ ἀνδρῶν.

46) Ὁ αὐτὸς ἐρωτηθείς, τίς ἄριστος σύμβουλος, ἔφη· ‘ὁ καιρός’.

47) Δημόκριτος τὴν φιλαργυρίαν ἔφη μητρόπολιν πάσης κακίας εἶναι.

48) Ὁ αὐτὸς ἰδὼν φθονερὸν λυπούμενον ἔφη· ‘ἦ τούτῳ μέγα κακὸν συμβέβηκεν ἢ ἄλλῳ μέγα ἀγαθόν.’

49) Δημοκρίτῳ ἔφη τις· ‘διὰ τί μέγας ὢν μικρὰν ἔγημας γυναῖκα;’ ὁ δὲ εἶπεν· ‘ἐκλογὴν ποιησάμενος τοῦ κακοῦ τὸ ἔλαττον ἠρετισάμην.’

50) Ὁ αὐτὸς ἐρωτηθείς, διὰ τί ὀλίγους ἔχει φίλους, εἶπεν· ‘ὅτι οὐ λίαν πλουτῶ.’

51) Ὁ αὐτὸς ἔφη· ‘ὅστις φίλον λυπούμενον ἔφυγεν, οὗτος οὐδὲ τοῦ χαίροντος ἀπολαύειν ἄξιος.’

52) Ἐρατοσθένης ὁ Κυρηναῖος ‘τῆς ἡλικίας’ ἔφη ‘τὸ μὲν ἀκμάζον ἔαρ ἐστί, θέρος δὲ καὶ μετόπωρον τὸ μετὰ τὴν ἀκμήν, χειμὼν δὲ τὸ γῆρας.’

53) Ζήνων ὁ φιλόσοφος εἶπε, τὴν μὲν ὅρασιν ἀπὸ τοῦ ἀέρος τὸ φῶς λαμβάνειν, τὴν δὲ ψυχὴν ἀπὸ τῶν μαθημάτων.’

Testimonia:

44) cf. Vat. 221 (ὁ αὐτὸς ἐρωτηθείς, τί δυσκολώτατον ἐν βίῳ, εἶπε· ‘τὸ πᾶσιν ἀρέσαι’), ubi nostrae sententiae testimonia protulimus.

45) Vat. 258, ubi ὁ αὐτὸς Demetrium Phalereum innuit ‖ κακὰ ὑπομεῖναι] τὰ κακὰ ἐνεγκεῖν ‖ ἀνδραπόδου] ἀνδραπόδων ex coni. edidi ‖ ἀγαθὰ] τὰ ἀγαθά.

46) Vat. 260 (ὁ αὐτὸς = Δημήτριος ὁ Φαληρεύς).

47) Vat. 265: ἔφη] ἔλεγε ‖ εἶναι om.

48) Vat. 266.

51) Vat. 273 (ὁ αὐτὸς = Εὐριπίδης) ‖ οὗτος om.

52) Vat. 291: ἐστὶ] εἶναι ‖ μετόπωρον] μετώπωρον ‖ χειμὼν] χειμῶνα.

53) Vat. 297: ὁ φιλόσοφος om. ‖ εἶπε] ἔφη ‖ τὸ φῶς λαμβάνειν] λαμβάνειν τὸ φῶς.

---

44) δυςχερέστατον] δυςχερέστερον V.

45) om. V ‖ ἀνδραπόδου] ἀνδραπο′ F; legendum videtur: ἀνδραπόδων ‖ ἀγαθὰ] ἀγα M.

47) ἔφη μητρόπολιν] μητρόπολιν ἔφη MV ‖ εἶναι om. V.

48) τούτῳ] τοῦτο V ‖ ἄλλῳ] ἄλλο V ‖ μέγα ἀγαθὸν] ἀγαθὸν MF.

49) τίς MFV ‖ διατί MV ‖ ἠρετισάμην M.

50) om. V ‖ inc. f. 19ᵛ M ‖ διατί M.

51) om. V.

52) in mg. M: ὡραῖον (per scripturae compendium) ‖ inc. f. 315ᵛ F ‖ μετόπορον M.

53) in mg. σημείωσον (per comp.) M ‖ τὴν inc. f. 66ʳ V.

54) Ὁ αὐτὸς τοὺς τοῦ σώματος ἐπιμελουμένους, τῆς δὲ ψυχῆς ἀμελοῦντας ὁμοίους εἶναι ἔφη τοῖς ζητοῦσι μὲν ἐσθῆτα καθαρὰν φορεῖν, ῥυπῶσι δὲ καὶ αὐχμῶσιν.

55) Ὁ αὐτὸς ἰδὼν ἀκόλουθόν τινος τῶν γνωρίμων μεμαστιγωμένον ὁρῶ σου' ἔφη 'τοῦ θυμοῦ τὰ ἴχνη.'

56) Ὁ αὐτὸς ἐρωτηθείς, πῶς ἂν ἐλάχιστα ἁμαρτάνοι ὁ νέος, εἶπεν· 'εἰ πρὸ ὀφθαλμῶν ἔχοι, οὓς μάλιστα τιμᾷ καὶ αἰσχύνεται.'

57) Ζάλευκος ἐρωτηθείς, πῶς <ἂν> ἀναμάρτητος γένοιτό τις, ἔφη· 'εἰ ἐχθροὺς ἔχοι πολλούς· φοβούμενος γὰρ αὐτῶν τὰς παραστάσεις καὶ τὸν ἔλεγχον σπανίως ἂν πειρῷτο τὸ καλῶς ἔχον ὑπερβαίνειν.'

58) Θεόφραστος μεμφομένης αὐτὸν τῆς γυναικός, ὅτι τὸν υἱὸν οὐ προσίεται, ἄχρηστον ὄντα, καὶ λεγούσης, ὅτι ἐξ αὐτοῦ εἴη, ἀποπτύσας 'καὶ γὰρ ἐξ ἐμοῦ καὶ τοῦτο', εἶπεν, 'ἀλλ' οὐ χρήσιμον.'

59) Ὁ αὐτὸς ἰδὼν στρατόπεδον μέγα, μὴ ἔχον καλὸν στρατηγόν, ἔφη· 'πηλίκον θηρίον κεφαλὴν οὐκ ἔχει;'

60) Θεόκριτος πρὸς τὸν εἰπόντα αὐτῷ, διὰ τί οὐκ ἄγεται γυναῖκα, ἔφη ὅτι 'ἐὰν μὲν καλὴν γήμω, κοινὴν ἕξω, εἰ δὲ κακήν, ποινήν.'

Testimonia:

54) Vat. 299: τοὺς] τοὺς μὲν ‖ εἶναι ἔφη] ἔφη εἶναι ‖ ζητοῦσι μὲν ἐσθῆτα] ζητοῦσιν ἐσθῆτα μέν.

55) Vat. 300.

56) Vat. 304.

57) Vat. 305: Ζάλευκος] Ζάλευκος ὁ τῶν Λοκρῶν νομοθέτης ‖ ἐρωτηθείς] ἐρωτηθεὶς ὑπό τινος ‖ ἂν om. ‖ ἔφη] εἶπεν ‖ εἰ] εἴ τις ‖ ἔχοι] ἔχει ‖ ἔχον] ἔχειν.

58) cf. adnotatio ad Vat. 25.

59) Vat. 281 (ὁ αὐτὸς = Ἐπαμεινώνδας): μέγα, μὴ ἔχον καλὸν στρατηγὸν] μέγα καὶ καλὸν στρατηγὸν οὐκ ἔχον ‖ ἔφη· πηλίκον] ἡλίκον, εἶπε.

60) de sententia ad Vat. 2 egimus.

---

54) om. V.

55) ἀκόλουθον τινὸς M ‖ σου post τοῦ θυμοῦ conlocat V.

57) Ζάλευκος] Σέλευκος F ‖ ἂν om. MFV ‖ ἐχθροὺς] post πολλοὺς offert V ‖ ἔχοι] ἔχει MFV ‖ ἔχον] ἔχειν F.

58) in mg. M (per comp.): ὡραῖον ‖ μεμφομένης] μεμφόμενος MF ‖ αὐτὸν] αὐτῷ V ‖ υἱὸν] βίον V ‖ ἐξ ἐμοῦ καὶ τοῦτο, εἶπεν] καὶ τοῦτο, εἶπεν, ἐξ ἐμοῦ V.

59) in mg. M: ὡραῖον (per scripturae compendium).

60) in mg. M (per comp.) ὡραῖον ‖ διατί MV.

61) Θαλῆς ἐρωτηθείς, *a)* τί πρεσβύτατον ἁπάντων· ‘Θεὸς’ εἶπεν· ‘ἀγέννητος γάρ·’ *b)* κάλλιστον· ‘κόσμος· ποίημα γὰρ Θεοῦ·’ *c)* ταχύτατον· ‘νοῦς· διὰ παντὸς γὰρ τρέχει·’ *d)* ἰσχυρότατον· ‘ἀνάγκη· κρατεῖ γὰρ ἁπάντων·’ *e)* σοφώτατον· ‘χρόνος· ἀνευρίσκει γὰρ πάντα.’

62) Ὁ αὐτὸς ἐρωτηθείς, εἰ δύναται λανθάνειν Θεὸν ἄνθρωπος ἀδικῶν, ἔφη· ‘ἀλλ’ οὐδὲ διανοούμενος.’

63) Ὁ αὐτὸς ἐρωτηθείς, πῶς ἄν τις ἀτυχίαν ἄριστα φέροι, ‘εἰ τοὺς ἐχθροὺς’ ἔφη ‘χείρονα πράττοντας βλέποι.’

64) Θεαρίδας ὁ Λάκων ξίφος ἀκονῶν καὶ ἐρωτώμενος, εἰ ὀξύ ἐστιν, ἔφη· ‘ὀξύτερον διαβολῆς.’

65) Θεόφραστος ἔφη δεῖν μᾶλλον μνημονεύειν, ὑφ’ ὧν καλῶς τις πέπονθεν ἢ ὑφ’ ὧν κακῶς· ‘καὶ γὰρ τὸ εὐχαριστεῖν τοῦ τιμωρεῖσθαι βελτίονος ἤθους ἐστίν.’

66) Ὁ αὐτὸς πρὸς τὸν δακνόμενον ἐπὶ ταῖς ἑαυτοῦ ἁμαρτίαις καὶ μετα-

---

Testimonia:

61) Vat. 320: *a)* ἁπάντων] τῶν ὄντων ‖ θεός, εἶπεν] εἶπε· θεός ‖ *b)* ποίημα γὰρ] ποίημα ‖ θεοῦ] τοῦ θεοῦ ‖ inter *b)* et *c)* Vat. addit: μέγιστος· ‘ὁ κόσμος’ (l. μέγιστον· ‘τόπος)· ἅπαντα γὰρ χωρεῖ’ ‖ *c)* νοῦς] ὁ νοῦς.

62) Vat. 316: δύναται λανθάνειν θεὸν ἄνθρωπος ἀδικῶν, ἔφη] λανθάνει τις ποιῶν τι τὸν θεόν, εἶπεν ‖ ἀλλ’ οὐδὲ] οὐδέ.

63) Vat. 321, ubi quinque quaestiones praemittuntur <τι δύσκολον, (ἔφη)· ‘τὸ ἑαυτὸν γνῶναι·’ τί εὔκολον· ‘τὸ ἄλλῳ ὑποθέσθαι·’ τί δὲ ἥδιστον· ‘τὸ ἐπιτυγχάνειν·’ τί δὲ θεῖον· ‘τὸ μήτε ἀρχὴν μήτε τελευτὴν ἔχον·’ τί δὲ δύσκολον εἴη τεθεαμένος· ‘γέροντα [ἔφη] τύραννον’>, duo apophthegmata subiunguntur <πῶς ἂν ἄριστα καὶ δικαιότατα βιώσαιμεν (βιώσοιμεν Cod.), ‘ἐὰν ἃ τοῖς ἄλλοις [ἔφη] ἐπιτιμῶμεν αὐτοὶ μὴ δρῶμεν·’ τίς εὐδαίμων· ‘ὁ τὸ μὲν σῶμα ὑγιής, τὴν δὲ ψυχὴν εὔπορος, τὴν δὲ φύσιν εὐπαίδευτος (ἀπαίδευτος Cod.)> ‖ ἔφη] post τί δύσκολον exhibet Vat.

64) Vat 337: Θεαρίδας] Θεαριδᾶς.

65) Vat. 328: καλῶς] κακῶς ‖ ἐστὶν] εἶναι.

66) Vat. 329.

---

61) om. F ‖ Θαλῆς] Θάλης M ‖ ποίημα inc. f. 67^{r} V ‖ διαπαντὸς M.

62) om. V ‖ ὁ αὐτὸς] Θάλης F ‖ οὐδὲ acc. m. rec. M.

63) φέροι] φέρη V ‖ χείρονα] χαίρονα V ‖ βλέποι] βλέπει V.

64) διαβολῆς] διαβολὴ V.

65) om. V ‖ ὑφ’ ὧν καλῶς τις πέπονθεν ἢ om. MF ‖ ὑφῶν M ‖ τὸ εὐχαριστεῖν] καὶ εὐχαριστεῖν F.

66) ὡραῖον (per comp.) in mg. M ‖ ὁ αὐτὸς] Θεόφραστος V ‖ ὡς πράξας, οὐκ ἂν ἥμαρτες] οὐκ ἂν ὡς πράξας ἥμαρτες MFV.

μελόμενον ἔφη· ἐι οὕτω μέλλων πράττειν τὰ φαῦλα ἐδάκνου, ὡς πράξας, οὐκ ἂν ἥμαρτες.'

67) Ἰσοκράτης ἔφη δεῖν τὸν ἀγαθὸν ἄνδρα μεμνῆσθαι μὲν τῶν προγεγενημένων, πράττειν δὲ τὰ ἐνεστῶτα, περὶ δὲ τῶν μελλόντων ἀσφαλίζεσθαι.

68) Κλεάνθης ἔλεγε τὴν φύσιν ἡμῖν δεδωκέναι ὦτα μὲν δύο, γλῶσσαν δὲ μίαν, ὅπως πλεῖστα ἀκούοντες ὀλίγα φθεγγώμεθα.

69) Ὁ αὐτὸς ἔλεγε τὸν φίλον δεῖν εὐεργετεῖν ἀεί, ἵνα μᾶλλον φίλος μένῃ, καὶ τὸν ἐχθρὸν ὁμοίως, ἵνα γένηται φίλος, καὶ φυλάσσεσθαι τῶν μὲν φίλων τὸν ψόγον, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν.

70) Κλεόστρατος ὁ φιλοπότης, ὡς μεθύοντά τις αὐτὸν ἐνουθέτει λέγων. 'οὐκ αἰσχύνῃ μεθύων;' ἔφη [ἐκεῖνος]· 'σὺ δὲ οὐκ αἰσχύνῃ μεθύοντα νουθετῶν;'

71) Καλλίμαχος ἀκούσας ὅτι 'ὁ δεῖνά σε κακῶς ἐπὶ ἐμοῦ εἶπεν' ἔφη· 'εἰ μὴ σὺ ἡδέως ἤκουες, οὐκ ἂν ἐκεῖνος ἐλοιδόρει.'

72) Κικέρων εἶπε· 'καλῶς ποιεῖν ἁπλῆ εὐεργεσία ἐστὶ, λέγειν δὲ καὶ ποιεῖν διπλῆ.'

73) Λεωνίδης ὁ Λακεδαιμόνιος χωλὸν ἔχων τὸ σκέλος ἐπὶ παρατάξεως προῆγεν· εἰπόντων δέ τινων ὅτι 'οὕτως ὢν πῶς ἐπὶ παράταξιν ἀπῄεις;' εἶπεν· 'ἑστώτων γὰρ ἡ χρεία, ἀλλ' οὐ φευγόντων.'

74) Λοιδορούμενος Εὐριπίδης ὑπό τινος φαλακροῦ εἶπε· 'σὲ μὲν οὐχ ὑβρίσω, τὰς δὲ τρίχας σου ἐπαινέσω, ὅτι κακὸν κρανίον ἔφυγον.'

Testimonia:

67) Vat. 363: περὶ δὲ τῶν μελλόντων ἀσφαλίζεσθαι om.

69) Vat. 370 (ὁ αὐτὸς = Κλεόβουλος) ‖ ἔλεγε] ἔφη ‖ τὸν φίλον] τὸν μὲν φίλον ‖ φίλος μένῃ] ἢ φίλος.

70) Vat. 371: ἐκεῖνος om.

72) Vat. 380: Κικέρων] Κικερὼν ‖ ἐστὶ om.

73) Vat. 389: ἐπὶ παρατάξεως] ἐπὶ παράταξιν ‖ οὕτως] τοιοῦτος ‖ ἑστώτων γὰρ ἡ χρεία, ἀλλ' οὐ φευγόντων] οὐ γὰρ φευγόντων, ἀλλὰ ἑστώτων χρεία.

---

67) Ἰσοκράτης] Σωκράτης V.
68) φθεγγώμεθα] φθεγγόμεθα F a m. pr.
69) om. V ‖ φίλον] φιλεῖν M.
70) ἐκεῖνος cancellis saepsi ‖ αἰσχύνῃ acc. m. rec. M.
71) ὁ acc. m. rec. M ‖ δεῖνα MFV.
72) inc. f. 67^{v} V ‖ ἁπλῆ M ‖ διπλῆ M.
73) Λεωνίδης] Κεωνίδης V ‖ ἐπὶ παρατάξεως om. V ‖ ἑστώτων M ‖ χρεῖα M.
74) ἔφυγον] ἐξέφυγον V.

75) Λυκοῦργος ὁ νομοθέτης τὸ μὲν ἀξιόχρεων ἔφη τῶν ἀνθρώπων ἐν τῇ οὐσίᾳ κεῖσθαι, τὸ δὲ ἀξιόπιστον ἐν τοῖς τρόποις.

76) Ξενοφῶν τὴν πενίαν αὐτοδίδακτον ἔλεγε φιλοσοφίαν· ἃ γὰρ ἐκείνη τοῖς λόγοις πείθει, ταῦτα τοῖς ἔργοις αὐτὴ ἀναγκάζει.'

77) Πλάτων ἐρωτηθείς, τί ἐστι φίλος, εἶπεν· 'ἄλλος οἷος ἐγώ.'

78) Ὁ αὐτός, εἴποτε ἑώρα τινὰ ἁμαρτάνοντα, 'ἐπισκεπτέον', ἔλεγε, 'μή ποτε καὶ ἐγὼ τοιούτῳ περιπέσω.'

79) Πλάτων τινὸς λέγοντος ὅτι 'τινὲς λοιδοροῦσί σε' ἔφη· 'ἀλλ' ἐγὼ οὕτω διάξω, ὥστε ἀπιστεῖσθαι αὐτούς.'

80) Ὁ αὐτὸς παρεκελεύετο τοῖς νέοις τρία ταῦτα ἔχειν· ἐπὶ μὲν τῆς γλώττης σιγήν, ἐπὶ δὲ τῆς γνώμης σωφροσύνην καὶ ἐπὶ τοῦ προσώπου αἰδῶ.

81) Ὁ αὐτὸς ὀργιζόμενος τῷ οἰκέτῃ καὶ μέλλων αὐτὸν μαστιγοῦν, ἐπιστάντος Ξενοκράτους, ἔφη· 'λαβὼν τοῦτον μαστίγωσον· ἐγὼ γὰρ ὀργίζομαι.'

82) Ὁ αὐτὸς ἔλεγεν, ὅτι τὸν παιδευόμενον ἀγαθὰ χρὴ φεύγειν κακῶν ἀνθρώπων φιλίαν καὶ ἀγαθῶν ἔχθραν.

Testimonia:

75) Vat. 401: ἀξιόχρεων] ἀξιόχρεον ‖ ἔφη τῶν ἀνθρώπων] τῶν ἀνθρώπων ἔφη.

76) Vat. 414: αὐτοδίδακτον ἔλεγε] ἔλεγεν αὐτοδίδακτον ‖ φιλοσοφίαν] φιλοσοφίαν εἶναι ‖ ταῦτα τοῖς ἔργοις αὐτὴ] αὐτὴ (l. αὕτη) τοῖς ἔργοις.

77) Vat. 296, ubi Platoni Zeno substituitur ‖ εἶπεν] ἔφη.

79) Vat. 431: Πλάτων τινὸς] Πλάτωνί τινος ‖ οὕτω] οὕτως ‖ διάξω] διδάξω, quod correxi.

80) Vat. 433: ἐπὶ μὲν — σωφροσύνην] ἐπὶ μὲν τῆς γνώμης σωφροσύνην, ἐπὶ δὲ τῆς γλώττης σιγὴν ‖ καὶ ἐπὶ] ἐπὶ δέ.

81) Vat. 436[a], ubi Photii locum (I n. 96: ἄριστος γὰρ ὁ εἰπὼν ὅτι ἐμαστίγωσα ἄν σε, εἰ μὴ ἐθυμούμην,) in adnotatione critica tractavi.

82) Vind. 122 (Ὑπερίδης) et Vat. 460 (ὁ αὐτὸς = Πυθαγόρας): ἔλεγεν, ὅτι τὸν παιδευόμενον ἀγαθὰ χρὴ φεύγειν κακῶν ἀνθρώπων φιλίαν] ἔφη κακῶν ἀνθρώπων φεύγειν φιλίαν Vind., ἔλεγε φεύγειν κακῶν φιλίαν Vat.

---

75) inc. f. 316[r] F ‖ ἀξιόχρεων] ἀξιόχρεον V.

76—123) om. MF.

77) Πλάτων] Πάτων V.

79) διάξω] διδάξω.

81) inc. f. 68[r] V.

82) τὸν παιδευόμενον] ὁ παιδευόμενος.

BIBLIOTHECA APOSTOLICA VATICANA

83) Περικλῆς ὁ Ἀθηναῖος λοιδορουῦντος αὐτόν τινος καὶ λέγοντος· ἐὰν ἓν εἴπῃς, δέκα ἀκούσῃ,' ἀλλὰ σὺ' ἔφη 'δέκα ἐὰν εἴπῃς, οὐδὲ ἓν ἀκούσῃ.'

84) Πυθαγόρας ἔφη· 'τὸ εἰς πῦρ καὶ εἰς γυναῖκα ἐμπεσεῖν ἴσον ὑπάρχει.'

85) Πιττακὸς ὁ σοφὸς Βίαντα ἠρώτησε· 'τι δυσκολώτερον ἐν τῷ βίῳ;' τοῦ δὲ εἰπόντος· 'τὸ ἑαυτὸν γνῶναι' πάλιν ἤρετο· 'τί ῥᾴδιον;' καὶ πάλιν Βίας φησί· 'τὸ ἕτερον ψέξαι.'

86) Πύῤῥος ὁ Ἠπειρώτης ἐρωτηθείς, ποῖος αὐτοῦ τῶν υἱῶν διάδοχος τῆς βασιλείας ἔσται, εἶπεν· 'ὅστις <ἂν> ὀξυτέραν ἔχῃ τὴν μάχαιραν.'

87) Ῥυμύλος ἐγκαλούμενος, ὅτι πονηροῖς σύνεστιν, ἔφη· 'καὶ ἰατροὶ τοῖς νοσοῦσιν, ἀλλ' αὐτοὶ ὑγιαίνουσι.'

88) Σωκράτης θεασάμενος Ἀρίστιππον ἠμφιεσμένον πολυτελῶς ἐμόλυνε τὴν καθέδραν, ἐφ' ἣν καθίζειν ἔμελλε· τοῦ δὲ Ἀριστίππου κατὰ τὸ ἀσφαλὲς οὕτω καθίσαντος 'νενόηκα', εἶπεν, 'ὅτι ἔχεις τὸ ἱμάτιον, καὶ οὐκ ἔχῃ ὑπ' αὐτοῦ.'

89) Ὁ αὐτὸς λοιδορούμενος ὑπό τινος ἀναισχύντου ἔφη· 'ὦ οὗτος· οὐ κόρας ἔχεις ἐν τοῖς ὠφθαλμοῖς, ἀλλὰ πόρνας.'

90) Ὁ αὐτὸς ἔλεγε μόνον ἐκεῖνον βασιλέα εἶναι τὸν δυνάμενον ἄρχειν τῶν οἰκείων παθῶν.

91) Ὁ αὐτὸς ἐρωτηθείς, εἰ κατασχεῖν δύναταί τις λόγον ἀπόῤῥητον, ἔφη· 'ὅστις διάπυρον ἄνθρακα τῇ γλώσσῃ κατασχεῖν δυνήσεται.'

92) Σωκράτης ἐρωτηθείς· 'τίς σοι πλουσιώτερος εἶναι δοκεῖ;' εἶπεν· 'ὁ ἐλαχίστοις ἀρκούμενος· αὐτάρκεια γάρ ἐστι φύσεως πλοῦτος.'

93) Ὁ αὐτὸς καταδικασθεὶς ὑπὸ Ἀθηναίων κρημνισθῆναι, [καὶ] τῆς γυναικὸς ἐπεμβαινούσης καὶ λεγούσης· 'ὦ Σώκρατες, ἀδίκως ἀποθνήσκεις' εἶπε· 'σὺ οὖν ἐβούλου με δικαίως ἀποθανεῖν;'

Testimonia:

85) Vat. 456: δυσκολώτερον] δυσχερέστερον ‖ ἤρετο] εἴρετο ‖ τί ῥᾴδιον] τί δὲ ῥᾴδιον ‖ ἕτερον] ἑαυτόν.

86) Vat. 466: ἐρωτηθείς] ἐρωτηθεὶς ὑπό τινος ‖ ἔχῃ] ἔχει.

87) sententiam ad Vat. 37 inlustravimus.

88) Vat. 493: ἐμόλυνε] ἐμόλυνεν ‖ ἔμελλε] ἔμελλεν ‖ οὕτω om. ‖ νενόηκα· εἶπεν] εἶπε· νενόηκα ‖ ἔχεις] ἔχει.

90) Vat. 472: ἔλεγε μόνον ἐκεῖνον] ἔλεγεν ἐκεῖνον μόνον.

91) Vat. 475: γλώσσῃ] γλώττῃ.

92) Vat. 476.

93) Vat. 478: κρημνισθῆναι] κατακριμνισθῆναι (ubi κατακρημνισθῆναι

---

83) αὐτὸν τινὸς V.

86) ὁ Ἠπειρώτης] ὑπειρώτης V ‖ ἂν om. V ‖ ἔχῃ] ἔχει V.

88) inc. f. 67^{v} V ‖ νενόηκα] νενίκηκα V.

93) καὶ cancellis saepsi.

94) Ὁ αὐτὸς ἔφη τοὺς ἄλλους ζῆν ἵνα ἐσθίωσιν, ἑαυτὸν δὲ ἐσθίειν ἵνα ζῇ.

95) Ὁ αὐτὸς ἰδὼν πλούσιον ἀπαίδευτον 'ἰδού' φησὶ 'τὸ χρυσοῦν ἀνδράποδον.'

96) Σεκοῦνδος ὁ σοφὸς ἐρωτηθείς, τί ἐστι γυνή, εἶπεν· 'ἀνδρὸς ναυάγιον, οἴκου ζάλη, καθημερινὴ ζημία, αὐθαίρετος μάχη, συνεστιώμενον θηρίον, συγκαθημένη μέριμνα, ζῷον πονηρόν, ἀναγκαῖον κακόν.'

97) Ὁ αὐτὸς ἔφη· 'ἄριστον καὶ πρῶτον μάθημά ἐστιν ἐν ἀνθρώποις ἀπομαθεῖν τὰ κακά, πράττειν δὲ τὰ χρηστά.'

98) Σόλων ἐρωτηθείς, διὰ τί κατὰ τυπτόντων τοὺς πατέρας νόμους οὐκ ἔθηκεν, ἔφη· 'διὰ τὸ ἀπελπίσαι τοιούτους τινὰς ἔσεσθαι.'

99) Ὁ αὐτὸς ἐρωτηθείς, ποία πόλις ἄριστα διοικεῖται, ἔφη· 'ἐν ᾗ οἱ μὲν ἄνθρωποι νόμοι, οἱ δὲ νόμοι ἄνθρωποι.'

100) Ὑπερίδης ἔφη δεῖν τὸν ἀγαθὸν ἄνδρα ἐπιδείκνυσθαι ἐν μὲν τοῖς λόγοις ἃ φρονεῖ, ἐν δὲ τοῖς ἔργοις ἃ ποιεῖ.

---

101) Θεανὼ ἔφη· 'περὶ ὧν λέγειν καλόν, περὶ τούτων σιωπᾶν αἰσχρόν, καὶ περὶ ὧν αἰσχρὸν λέγειν, περὶ τούτων σιωπᾶν καλόν.'

102) Σαμία γυνὴ πότην ἔχουσα ἄνδρα εἶπεν· 'οὐ χρὴ παννύχιον πίνειν

Testimonia:

correxi) ‖ καὶ om. ‖ γυναικὸς] γυναικὸς Ξανθίππης ‖ ἐπεμβαινούσης] κλαιούσης ‖ εἶπε] εἶπε πρὸς αὐτὴν ‖ ἀποθανεῖν] ἀποθνήσκειν.

94) Vat. 479: ἔφη τοὺς ἄλλους] τοὺς ἄλλους ἔφησε.

95) Vat. 484: ἀνδράποδον] ἀπαίδευτον (l. πρόβατον).

98) Vat. 506: κατὰ πατροκτόνου] κατὰ τυπτόντων τοὺς πατέρας ‖ εἶπε] ἔφη ‖ τοιούτους τινὰς ἔσεσθαι om.

100) Vind. 121, Vat. 538: ἀγαθὸν ἄνδρα] ἀγαθόν.

101) Vind. 179, Vat. 574: Θεανὼ ἔφη] om. Vind., Θεανὼ ἡ Πυθαγορικὴ ἔφη Vat. ‖ αἰσχρὸν λέγειν] λέγειν αἰσχρὸν Vat.

102) Vind. 189: πότην] φιλοπότην ‖ εἶπεν] ἔφη ‖ φησὶν] ἔφη (post σε διδάξας) ‖ ἡ δὲ 'μενοῦνγε' ἔφη] ἐκείνη μὲν οὖν falso.

---

95) inc. f. 68^{r} V.

98) Σόλων] Δόλων V ‖ διατί V.

102) ἀπόλοιτό φησι V ‖ ἡ δὲ supplevi; malim: ἡ δέ· 'ὃ σὲ μὲν οὖν μὴ διδάξας' cum codice Laurentiano Plut. LXXXVII n. 16 f. 68^{r} (ubi ἔφη habes pro εἶπεν et pro φησὶν, — post σε διδάξας — legitur: ἔφη).

βουληφόρον ἄνδρα·' ὁ δὲ 'ἀπόλοιτο' φησὶν 'ὁ γράμματά σε διδάξας· <ἡ δὲ> 'μενοῦν γε' ἔφη· 'ὁ σὲ μὴ διδάξας.'

---

103) **Μένανδρος** ὁ τῶν κωμῳδιῶν ποιητὴς ἔφη·

22) Τέχνη καὶ φύσιν οἶδε βιάζεσθαι· μόνον εὔθυμον (adde: δεῖ) εἶναι καὶ ὑφηγουμένῳ τὰ δέοντα πείθεσθαι πράττειν (III 17; vocem ultimam delendam esse suspicor).

23) Προφήταις μὲν γὰρ καὶ τὰ μέγιστα κατορθοῦν οὐκ ἀδύνατον (III 18).

24) Ὀξὺς γὰρ ὁ ἐρῶν ἰδεῖν τὸ ποθούμενον (IV 1).

25) Ἐπακτικὸν γάρ τι καὶ πρὸς τῶν ὁρώντων εἰς εὔνοιαν τὸ κάλλος (IV 3).

26) Τροφὴ γὰρ νόσων ἡ σιωπή, τὸ δὲ ἐκλαλούμενον εὐπαραμύθητον (IV 5).

27) Τὸ γὰρ ἄδηλον τῆς τύχης ἀνθρώποις ἄγνωστον (IV 8).

28) Μέγιστος γὰρ θεῶν ὁ Ἔρως καὶ ἤδη (l. δὴ) καὶ θεῶν αὐτῶν ποτε κρατεῖν λεγόμενος (IV 10).

29) Ὡς τὸ μὲν ἀπείρατον γενέσθαι τὴν ἀρχὴν ἔρωτος εὔδαιμον, τὸ δ' ἁλόντα πρὸς τὸ σῶφρον τὸ βούλημα περιποιῆσαι σοφώτατον (ibidem).

30) Τινὰ προαγορευόμενα μὲν γυναιξὶν ἔστιν ὅτε καὶ ὄκνον ἤνεγκεν, ἐπιτελούμενα δ' ἐκ τοῦ παραχρῆμα θαρραλεώτερον ἠνύσθη πολλάκις (IV 13).

31) Ἀπαραίτητον ἔχει πρὸς γυναῖκας ἴϋγγά χρυσὸς καὶ λίθος (IV 15).

32) Πολὺ γάρ τι καὶ νύκτες εἰς πλοῦν ἀνύουσι, ἀπογείοις αὔραις ἀκύμονα τὰ σκάφη παραπέμπουσαι (IV 16).

33) Ἄπιστον εἰς φυλακὴν ἐραστής, εἰ γένοιτο τῶν ἐρωτικῶν ἐγκρατὴς καὶ οὐχ ἥκιστα τῶν καταιδέσαι δυναμένων μονούμενος. Ἀναφλέγεται γάρ, ὡς οἶμαι, πλέον, ὅταν ἀπρόμαχον βλέπῃ τὸ ποθούμενον προκείμενον (IV 18).

34) Νόσος γὰρ ἄλλων τε καὶ ὤτων τὸ γῆρας (V 1).

35) Ἀγαθὸν γὰρ πλάνης ἐφόδιον, σύνθημα φιλικὸν εἰς ἀνεύρεσιν φυλαττόμενον (V 4).

36) Ἀλλ' οὐ γὰρ ἦν, φασί, τοὺς δυστυχοῦντας μὴ οὐχὶ πανταχοῦ δυστυχεῖν (V 19).

37) Αἵματος γὰρ ὄψις φρονήματος γίγνεται στόμωσις (V 25).

38) Ἀλλ' ἔστιν, ὡς ἔοικεν, ἀνθρώποις ψυχὴ πάντων προτιμότερον (ibidem).

39) Ἔστι γὰρ γυνή τι χρῆμα σοφώτατον, καιρὸν διαθέσθαι δραστήριος (V 26).

40) Τὸ γὰρ στενὸν τοῦ καιροῦ πολυλογίαν οὐκ ἐπιδέχεται (V 30).

41) Ἐπίφορον γάρ τι πρὸς δάκρυον οἶνος (V 33).

42) Ἔχει τι φιλάνθρωπον ὀξεῖα δυστυχημάτων δήλωσις, τὴν ὁμόσε χώρησιν πρὸς τὸ δεινὸν τῇ ψυχῇ καὶ ταχεῖαν ἀπάλγησιν παρασκευάζουσα (VI 5).

43) Ἦ γὰρ ἂν ἔγνως, ὡς καὶ τὰ ἀδεᾶ φοβερὰ τοῖς ἐρῶσι καὶ μόνοις ὀφθαλμοῖς μάρτυσι καταπιστεύουσιν ὑπὲρ τῶν παιδικῶν, ἡ δ' ἐκείνων ἀπουσία δειλία τοῦτ' ἤδη καὶ ἀγωνία ψυχαῖς ἐρωτικαῖς γίγνεται. Αἴτιον δέ, πεπείκασιν αὑτούς, οὐκ ἄλλως πώποτε σφῶν ἀπολείπεσθαι τοὺς φιλτάτους, μὴ οὐχὶ κωλύματος ἀηδοῦς ἐμποδίζοντος (ibidem).

44) Ὀξὺς γὰρ ὁ ἐρῶν φωρᾶσαι τὸν ἀπὸ τῶν ἴσων παθῶν κεκρατημένον (VI 7).

45) Δειναὶ γὰρ αἱ ψυχαὶ περὶ τοῖς φιλτάτοις τὰ δεινότερα μαντεύεσθαι (VI 12).

46) Σώζεται γὰρ ἡ περὶ τοὺς φύντας αἰδώς, ἐφ' ὅσον οἷόν τε καὶ ἐν τοῖς ἀποιχομένοις (VI 15).

47) Πολλὰ καὶ παράδοξα πολλάκις αἱ κατ' ἀνθρώπους τύχαι καινουργοῦσιν (VII 5).

48) Ὀξὺ γάρ τι πρὸς ἐπίγνωσιν ἐρωτικῶν ἡ ὄψις καὶ κίνημα καὶ σχῆμα πολλάκις μόνον, κἂν πόρρωθεν ἢ κἂν ἐκ νώτων τῆς ὁμοιότητος τὴν φαντασίαν παρέστησεν (VII 7).

49) Γύναιον καὶ ἄλλως πρὸς ἄσεμνον ἡδονὴν ἐπίφορον (VII 9).

50) Οὕτως ἄρ' ὁ πλανήτης βίος οἷον τυφλότητα τὴν ἄγνοιαν ἐπιβάλλει τοῖς ξενιτεύουσι (VII 12).

51) Τὰς γὰρ δὴ γνώσεις καὶ τὰς ἐντεύξεις ἐκ τῶν ὁμοίων, ὡς οἶσθα, γίγνεσθαι καλόν (VII 13).

52) (Γυνὴ) κοινόν τι χρῆμά ἐστι πρὸς πᾶσαν τύχην καὶ πλέον ἐπίκουρος γίγνεται τοῖς παρ' ἀξίαν ἔλαττον πράττουσι (VII 14).

53) Αἱ χρηστὰι καὶ φιλόνεοι γυναῖκες ἀμείλικτοι γίγνονται καὶ βαρυμήνιδες ἀποτυγχάνουσαι, καὶ τοὺς ὑπερόπτας ὡς ὑβριστὰς εἰκότως ἀμύνονται (VII 20).

54) Ποιεῖν γὰρ τὰ αἰσχρὰ καὶ λέγειν ὁμοίως ἀπρεπές (VII 21).

55) Εὑρέτις ἄρ' ἐστὶ λογισμῶν ἡ ἀνάγκη (VII 25).

56) Τῶν γὰρ ἄλλων σιωπωμένων, τὴν εὐγενείᾳ τῇ μεγίστῃ κομῶσαν οἰκότριβι συνοικεῖν ἀθέμιτον (VII 26).

57) Ἀρκεῖ μὲν γὰρ ἴσως καὶ τὸ μηδὲν αὑτῷ συνειδότα φαῦλον εὐμενείᾳ τῇ παρὰ τῶν κρειττόνων ἐλπίζειν, καλὸν δὲ καὶ ἀνθρώπων τοὺς συνόντας πείθοντα σὺν παῤῥησίᾳ τὸν ἐπίκαιρον τοῦτον βίον διάγειν (ibidem).

58) Ἀντίθετον δὲ ὡς ἐπίπαν τῷ κρατοῦντι τὸ κρατούμενον (ibidem).

59) Ὁ μὲν ἀγνοούμενος ὀκνηρότερος, ὁ δὲ πεφωραμένος θρασύτερος καθιστάμενος (VIII 5).

60) Ὁ μὲν ἔρως οὐκ ἀνίησιν, ἀλλ᾽ ἐπιτείνει πλέον ὥςπερ ὕλῃ τῷ νέῳ λάβρως ὑποπιμπράμενος (ibidem).

61) Μεγάλην εἰς πειθὼ κέκτηται πρὸς ἄνδρας ἴϋγγα τὰ γυναικεῖα καὶ σύνοικα βλέμματα (ibidem).

62) Πεφύκασι γὰρ οἱ νέοι θεραπευόμενοι μὲν ὑπερφρονεῖν, βιαζόμενοι δ᾽ ὑπείκειν (ibidem).

63) Ἀκοὴ γὰρ ὄψεως εἰς τὸ λυπῆσαι κουφότερον (ibidem).

64) Ἀπελπισθεὶς γὰρ ὁ ἔρως οὐδεμίαν ἔχει φειδὼ τοῦ ἐρωμένου, τρέπειν δὲ φιλεῖ τὴν ἀποτυχίαν εἰς τιμωρίαν (VIII 6).

65) Ἃ γὰρ ἐπιθυμεῖ ἡ ψυχή, καί πιστεύειν φιλεῖ (VIII 7).

66) Εὐγενοῦς γὰρ ἤθους καὶ ὄψεως καὶ βάρβαρον γένος οἶκτος εἰςέρχεται (VIII 9).

67) Ἥιδει γάρ, ὡς πάθος τοῦ ἐρωμένου τὸν ἐρῶντα πλέον ἢ τὸ ἴδιον ἀλγύνει (ibidem).

68) Φιλεῖ γὰρ ἄνθρωπος πρὸς τὰ συμπίπτοντα τρέπειν τὴν γνώμην (VIII 11).

69) Δεινὸς δ᾽ ὁ τῆς Δίκης ὀφθαλμός, ἐλέγχων καὶ τὰ ἀμήνυτα, κρύφια καὶ ἀθέμιτα φωτίζων (VIII 13).

70) Οὕτως ἄρα ἡδύ τι καὶ τὸ ἀπόλλυσθαι, ὅταν συμβαίνῃ τοῖς ἐχθροῖς ἐπαπόλλυσθαι (VIII 15).

71) Γένος γὰρ οὐδὲν οὐδ᾽ ἡλικίαν ὁ ὑπὲρ ψυχῆς δυςωπεῖται κίνδυνος (IX 3).

72) Ὑπαγορεύει γὰρ τοῖς χρηστοῖς φιλανθρωπίαν πολέμιος ὑποπίπτων (IX 5).

73) Πᾶν γὰρ ὕποπτον καὶ φοβερὸν τὸ κατ᾽ ἔσχατον κινδύνου γενόμενον (ibidem).

74) Οὕτως ἄρα καὶ ἀπεγνωκότες αὑτῶν ἄνθρωποι τὴν ἀεὶ παροῦσαν ὥραν κέρδος εἰς ὑπέρθεσιν θανάτου νομίζουσιν (ibidem).

75) Νικᾶν γὰρ καλὸν τοὺς ἐχθρούς, ἑστῶτας μὲν ταῖς μάχαις, πεπτωκότας δὲ ταῖς εὐποιίαις (IX 21).

76) Ἔχει τι ζηλότυπον ἔμφυτον τὸ εὐνούχων γένος· ὧν γὰρ ἀπεστέρηται, τούτων εἰς κώλυμα τοῖς ἄλλοις προβέβληται (IX 25).

77) Ἐπάναγκες γὰρ βασιλεῖ καὶ ἄκριτον ἔστιν ὅτε πλήθους ὁρμὴν θεραπεύειν (X 9).

78) Μεγίστη δ᾽, οἶμαι, τῷ λέγοντι πίστις ἡ τοῦ διαιτῶντος γνῶσις (X 12).

79) Οὐδὲν ἀπρεπὲς γυμνούμενον τὸ τῶν φύντων καὶ γένους μαρτύριον (X 15).

80) Ὑπερβολὴ γὰρ ἡδονῆς καὶ θρῆνόν ποτ᾽ ἀποτίκτειν φιλεῖ (X 16).

81) Ἡ μητρώα φύσις τὸ θυγατρὸς καὶ τὸ θῆλυ συμπαθὲς τὸ πταῖσμα τὸ γυναικεῖον οἶδεν ἐπισκιάζειν (X 29).

82) Ἐπισκιάζονται, ὡς ἔοικεν, ὑπὸ τῆς ἄγαν χαρᾶς καὶ οἱ συνετώτατοι τῶν ἀνδρῶν (X 39). —

M X = S XV.

N. 95—96 = n. 351—352; n. 97—99 = n. 356—358. — In S Menandri fragmenta lemmate destituta Demonactis sententias excipiunt.

Iam restat, ut Plutarchi, Democriti, Socratis, Demonactis gnomae in S servatae (cf. p. 52 supra) in medium proferantur:

Π τοῦ Πλουτάρχου.

1) (3) Ἔοικεν ὁ τῶν φιλαργύρων βίος νεκροῦ δείπνῳ· πάντα γὰρ ἔχων τὸν εὐφρανθησόμενον οὐκ ἔχει.

2) (4) Ἀχάριστον εὐεργετεῖν καὶ νεκρὸν μυρίζειν ἐν ἴσῳ κεῖται.

3) (5) Ὁδηγὸν τυφλὸν λαβεῖν καὶ σύμβουλον ἀνόητον ἓν ἐστιν.

4) (6) Ἐκ χρυσοῦ ποτηρίου πίνειν φάρμακον καὶ παρὰ φίλου ἀγνώμονος συμβουλίαν λαμβάνειν ταὐτόν ἐστιν.

5) (7) Οὔτε τὸν ἀῤῥωστοῦντα ἡ χρυσόπους ὠφελεῖ κλίνη οὔτε τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία.

6) (8) Ἐν πολέμῳ μὲν πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ κρείττων, ἐν δὲ τῷ ζῆν ὁ λόγος τοῦ πλούτου.

7) (9) Οἱ θυμοὶ καθάπερ αἱ κύνες τυφλὰ τίκτουσιν ἐγκλήματα.

8) (10) Οὔτε ναῦν ἐξ ἑνὸς ἀγκυρίου οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον.

9) (11) Τοῖς μὲν νοσοῦσιν ἰατρούς, τοῖς δὲ ἀτυχοῦσι φίλους δεῖ παρεῖναι.

10) (12) Τῆς ἀγνοουμένης ἀρετῆς ὥςπερ τοῦ κατωρυγμένου χρυσίου ἡ λαμπρότης οὐ βλέπεται.

Π) M om. n. 45—57 et n. 60—88.

1) πάντα γὰρ] ὃς πάντα M.

2) = App. 110.

5) inc. f. 83ᵛ S. — Repetit App. 109, ubi ἄῤῥωστον habes pro ἀῤῥωστοῦντα et χρυσόπους pro χρυσῆ.

6) = App. 113: πρὸς ἀσφάλειαν σίδηρος] σίδηρος πρὸς ἀσφάλειαν ‖ ὁ λόγος τοῦ πλούτου] λόγος πλούτου διαφέρει.

7) inc. f. 146ᵛ M ‖ αἱ] οἱ M.

8) ἐλπίδος acc. m. rec. M.

9) ἰατροὺς] ἰητροὺς M. — Exibet cum varietate lectionis App. 114.

10) = Photius I n. 116.

11) (13) Οὔτε ἵππῳ χωρὶς χαλινοῦ οὔτε πλούτῳ χωρὶς λογισμοῦ δυνατὸν ἀσφαλῶς χρήσασθαι.

12) (14) Ἵππου μὲν ἀρετὴν ἐν πολέμῳ, φίλου δὲ πίστιν ἐν ἀτυχίᾳ κρίνομεν.

13) (15) Σκεύη μὲν τὰ καινὰ κρείττονα, φιλία δὲ παλαιοτέρα.

14) (16) Ὀνείρῳ ἔοικεν ὁ τῶν ἀπαιδεύτων βίος, κενὰς ἔχων φαντασίας.

15) (17) Ὁ τῶν ἀσώτων βίος ὥσπερ καθημέραν ἀποθνήσκων ἐκφέρεται.

16) (18) Οἱ ἀπὸ τῶν αἰσχρῶν κερδῶν εἰς τὰς καλὰς ἀναλίσκοντες λειτουργίας ὅμοιόν τι ποιοῦσι τοῖς ἀπὸ ἱεροσυλίας θεοσεβοῦσι.

17) (19) Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένοις ἕπεται κατὰ ἀνάγκην σκιά, τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.

18) (20) Οἱ μὲν τραχεῖς ἵπποι τοῖς χαλινοῖς, οἱ δὲ ὀξεῖς θυμοὶ μετάγονται τοῖς λογισμοῖς.

19) (21) Αἱ μὲν ποδήρεις ἐσθῆτες τὰ σώματα, αἱ δὲ ὑπέρμετροι οὐσίαι τὰς ψυχὰς ἐμποδίζουσιν.

20) (22) Ὁ μὲν χειμὼν σκέπης, τὸ δὲ γῆρας ἀλυπίας δεῖται.

21) (23) Οἱ μὲν ἐκ τῆς γῆς καρποὶ κατ᾽ ἐνιαυτόν, οἱ δὲ ἐκ τῆς φιλίας κατὰ πάντα καιρὸν φύονται.

22) (24) Ἐπισκοτεῖ τῷ μὲν ἡλίῳ πολλάκις τὰ νέφη, τῷ δὲ λογισμῷ τὰ πάθη.

23) (25) Οὔτε παρὰ νεκροῦ ὁμιλίαν οὔτε παρὰ φιλαργύρου δεῖ χάριν ἐπιζητεῖν.

24) (26) Οὔτε ἐν ἰχθύσι φωνὴν οὔτε ἐν ἀπαιδεύτοις ἀρετὴν δεῖ ζητεῖν.

25) (27) Ὁδὸν μὲν τὴν λειοτάτην <δεῖ> ἐκλέγεσθαι, βίον δὲ τὸν ἀλυπότατον.

26) (28) Ἐν μὲν ταῖς μέθαις παροινοῦσιν, ἐν δὲ ταῖς εὐτυχίαις παρανοοῦσιν οἱ πλεῖστοι.

27) (29) Τὸ τῆς δόξης κάλλος ὥσπερ ὑπὸ νόσου τοῦ φθόνου ταχὺ μεταφέρεται.

28) (30) Οὔτε ἐκ τοῦ κόσμου τὸν ἥλιον οὔτε ἐκ τῆς παιδείας ἀρτέον τὴν παῤῥησίαν.

---

14) βίος inc. f. 84^{r} S.
16) ὅμοιον τί SM ‖ θεοσεβοῦσιν M.
17) = Photius I n. 130.
18) cf. p. 52 n. 3.
19) αἱ μὲν] οἱ μὲν S.
21) κατενιαυτὸν S.
23) inc. f. 84^{v} S.
24) = App. 108.
25) λειοτάτην] τελειοτάτην M ‖ δεῖ om. SM.
28) τῆς om. M.

29) (31) Οὔτε ὕδωρ θολερὸν οὔτε ἀπαίδευτον ψυχὴν ταράσσειν δεῖ.

30) (32) Ἔοικεν ἡ κολακεία γραπτῇ πανοπλίᾳ· διὸ τέρψιν μὲν ἔχει, χρείαν δὲ οὐδεμίαν παρέχει.

31) (33) Ἀῤῥώστοῦντι φορτίον ἐπιθεῖναι καὶ ἀπαιδεύτῳ ψυχῇ εὐτυχίαν ταὐτόν ἐστιν.

32) (34) Οὔτε συμπόσιον ἄνευ ὁμιλίας οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει.

33) (35) Αἱ ἐπιφανεῖς τύχαι καθάπερ οἱ σφοδροὶ τῶν ἀνέμων μεγάλα ποιοῦσι ναυάγια.

34) (36) Θηρεύουσι τοῖς μὲν κυσὶ τοὺς λαγωοὺς οἱ κυνηγοί, τοῖς δὲ ἐπαίνοις τοὺς ἀνοήτους οἱ πολλοί.

35) (37) Ὥςπερ οἱ ἐν εὐδίᾳ πλέοντες καὶ τὰ πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα, οὕτως οἱ ἐν εὐτυχίᾳ φρονοῦντες εὖ καὶ τὰ πρὸς τὴν ἀτυχίαν ἡτοιμάκασι βοηθήματα.

36) (38) Τὰ μὲν ξύλα τὸ πῦρ αὔξοντα ὑπ' αὐτοῦ τοῦ πυρὸς καταναλίσκεται, ὁ δὲ πλοῦτος τρέφων τοὺς κόλακας ὑπ' αὐτῶν τούτων διαφθείρεται.

37) (39) Οὔτε ἀῤῥώστου πληγὴν οὔτε ἀνοήτου ἀπειλὴν δεῖ εὐλαβεῖσθαι.

38) (40) Ὑπενδύεσθαι δεῖ τῷ μὲν θώρακι χιτῶνα, τῇ δὲ λύπῃ νοῦν.

39) (41) Νοσοῦντος δίαιτα καὶ ἄφρονος εὐτυχία τὸ δυςάρεστον.

40) (42) Ἀνδριάντα μὲν τὸ σχῆμα, ἄνδρα δὲ ἡ πρᾶξις κοσμεῖ.

41) (43) Οὐχ οὕτω τοῖς ὀρφανοῖς παισὶν ὡς τοῖς ἀνοήτοις ἀνδράσιν ἐπιτρόπους χρὴ παρεῖναι.

42) (44) Ἔοικεν ἡ τύχη φαύλῳ ἀγωνοθέτῃ· πολλάκις γὰρ τὸν μηδὲν πράσσοντα στεφανοῖ.

43) (45) Τοῦ μέλιτος μέλιτται τάχιον ἔρχονται ἐπ' αἴσθησιν, τοῦ κέρδους δὲ οἱ φιλάργυροι.

44) (46) Ὄφιν τρέφειν καὶ πονηρὸν εὐεργετεῖν ταὐτόν ἐστιν· οὐδετέρου γὰρ ἡ χάρις εὔνοιαν γεννᾷ.

45) (47) Ἡδύ ἐστιν, ὥςπερ φίλῳ σπουδαίῳ, οὕτω καὶ λόγῳ καλῷ συγγηράσκειν.

---

30) γραπτῇ] γραπτὴ S ‖ χρειαν S ‖ οὐδὲ μίαν SM.
31) αρρωστοῦντι M ‖ καὶ] ἢ S ‖ ἐστι M.
33) = Photius II n. 124, ubi pro αἱ ἐπιφανεῖς τύχαι extat: αἱ μεγάλαι καὶ ἐπιφανεῖς δόξαι.
34) τοῖς μὲν inc. f. 85ʳ S.
35) βοηθηματα M.
36) καταναλίσκεται] καταναλίσκονται M.
37) δεῖ inc. f. 147ʳ M.
41) ἐπιτρόπους] ἐπὶ τρόπους S ‖ παρεῖναι] παρῆναι M a m. pr.
42) γὰρ om. M ‖ στεφανοι M.
43) ἐπαΐσθησιν M.
44) ταυτὸν inc. f. 85ᵛ S ‖ οὐδ' ἑτέρου S.

46) (48) Τὸ μὲν ἴσον ζυγῷ, τὸ δὲ ἀληθὲς τῷ ἐκ φιλοσοφίας λόγῳ κρίνεται.

47) (49) Ἡ τρυφὴ καθάπερ στρατοπέδου τῆς τῶν ἀπαιδεύτων ψυχῆς τὰ ἄριστα ἀφαιρεῖται.

48) (50) Στάσιμοί εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες, ὡς ἐν λιμένι τῷ λογισμῷ ὁρμοῦσαι.

49) (51) Ἡ εὔκαιρος χάρις λιμῷ καθάπερ τροφὴ ἁρμόζουσα τὴν τῆς ψυχῆς ἔνδειαν ἰᾶται.

50) (52) Ἡ μὲν τροφὴ τοῖς γυμναζομένοις, ἡ δὲ ἀρετὴ τοῖς πεπαιδευμένοις ἡδεῖα φαίνεται.

51) (53) Οἱ ἐλαφροὶ τῶν ἀνθρώπων ὥςπερ τὰ κενὰ τῶν ἀγγείων εὐβάστακτοι τοῖς ὠτίοις εἰσί.

52) (54) Τὸν μὲν λιβανωτὸν τοῖς θεοῖς, τὸν δὲ ἔπαινον τοῖς ἀγαθοῖς ἀπονέμειν δεῖ.

53) (55) Κακόσιτός ἐστι πρὸς τὸν συμφέροντα λόγον ἡ τῶν ἀνοήτων ψυχή, οὐ παραδεχομένη τὸν σώζοντα νοῦν ὥςπερ φάρμακον.

54) (56) Τὰ μὲν φυτὰ ἀπὸ τῆς ῥίζης, ἡ δὲ δόξα ἀπὸ τῆς πρώτης λήψεως αὔξει.

55) (57) Ὥςπερ οἱ κόρακες παρεδρεύοντες ἐξορύσσουσι τοὺς τῶν νεκρῶν ὀφθαλμούς, οὕτως οἱ κόλακες τοῖς ἐπαίνοις τοὺς λογισμοὺς διαφθείρουσι τῶν ἀνθρώπων.

56) (58) Λαγῷ μὲν κύνα, φίλῳ δὲ κόλακα φύσει πολέμιον ἡγητέον.

57) (59) Ἡ τύχη καθάπερ τοξότης ποτὲ μὲν ἐπιτυγχάνει βαλοῦσα ἐφ' ἡμᾶς, ὥςπερ ἐπί τινα σκοπόν, ποτὲ δὲ ἐπὶ τὰ σύνεγγυς παρακείμενα ἡμῖν.

58) (60) Ἐκ μὲν τοῦ ποδὸς τὴν ἄκανθαν, ἐκ δὲ τῆς ἀλόγου ψυχῆς τὴν ἄγνοιαν ὑπεξελέσθαι δεῖ.

59) (61) Αἱ μὲν τῆς ἀρετῆς ἐλπίδες ἰδίαι εἰσὶ τῆς ψυχῆς, αἱ δὲ τῆς κακίας νόθοι.

60) (62) Σπάνιόν ἐστιν ὁδοιποροῦντα συνεχῶς μὴ προσκόψαι καὶ πράσσοντά τι ἐντρεχῶς μὴ οὐχὶ καὶ ἁμαρτεῖν.

61) (63) Ὁ μὲν δειλὸς καθ' ἑαυτοῦ τὰ ὅπλα, ὁ δὲ ἀνόητος τὰ χρήματα ἔχει.

---

46) ἶσον S ‖ τῷ] τὸ S.

48) στάσιμοι εἰσὶν S.

53) (παραδεχο)μένη inc. f. 86r S.

55) cf. Photius I n. 123 et nota ad Gnom. Vat. n. 206 (S cap. XLI n. 454 p. 54 not. 5).

57) ἐπὶ τὰ] ἐπὶ τοὺς S.

58) τὴν ἄγνοιαν] ἄγνοιαν M ‖ ὑπεξελέσθαι] ὑπεξελθεῖν M.

61) (ἀνό)ητος inc. f. 86v S.

62) (64) <Ταὐτόν ἐστιν> ἐξ ἀσθενοῦς ἀγκυρίου σκάφος ὁρμεῖν καὶ ἐκ φαύλης γνώμης ἐλπίδα.

63) (65) Τὸ μὲν εὔκρατον ὕδωρ τὰς φλεγμονάς, ὁ δὲ ἐπιεικὴς τὰς ὀργὰς δαλύει λόγος.

64) (66) Ὁδοῦ καὶ ἀληθείας χαλεπὸν ἀποπλανηθῆναι.

65) (67) Φθείρεται ὁ μὲν κόσμος πυρὶ καὶ ὕδατι, ὁ δὲ τῶν ἀκολάστων πλοῦτος ἔρωτι καὶ μέθῃ.

66) (68) Σφαγή ἐστι τοῦ φιλαργύρου ἡ πρὸς τὸ κέρδος ἐπιθυμία, ὅθεν ἡ τοῦ χρήματος ἀφαίρεσις ὥςπερ αἵματος ἐπιφέρει τὸν θάνατον αὐτῷ.

67) (69) Οἱ μὲν ξενιτεύοντες εἰς τὴν πατρίδα, οἱ δὲ φιλοσοφοῦντες εἰς τὸ φρονεῖν κατασπεύδουσι.

68) (70) Δυςάρεστοι ὄντες οἱ ἀπαίδευτοι καθάπερ ἐξ οἰκείων τῶν προαιρέσεων καθημέραν μετοικίζονται.

69) (71) Γλῶσσα βλάσφημος διανοίας κακῆς ἔλεγχος.

70) (72) Ἡ χάρις, ὥςπερ ἡ σελήνη, ὅταν τελεία γίνηται, τότε καλὴ φαίνεται.

71) (73) Ὅπερ ἂν σιωπᾶσθαι <βούλῃ>, ἐξείπῃς μηδενί· ἢ πῶς παρά τινος ἀπαιτήσεις τὸ πιστὸν τῆς σιωπῆς, ὃ μὴ παρέσχες σεαυτῷ;

72) (74) Οὔτε τῆς γαμετῆς πρέπον τὴν ἑταίραν οὔτε τῆς φιλίας τὴν κολακείαν δεῖ προτιμᾶν.

73) (75) Χαίρειν χρὴ τοῖς ἐλέγχουσιν ἢ τοῖς κόλαξιν· οἱ μὲν γὰρ ἡμᾶς λυποῦντες διεγείρουσιν, οἱ δὲ χαριζόμενοι ἐκλύουσι καὶ σκελίζουσιν.

74) (76) Οὔτε πλέοντας παρὰ τόπον ὁρμεῖν ἀσφαλὲς οὔτε ζῶντα παρὰ τὸν νόμον βιοῦν ἀκίνδυνον.

75) (77) Πολλοὶ φίλους αἱροῦνται οὐ τοὺς ἀρίστους, ἀλλὰ τοὺς πλουτοῦντας.

76) (78) Πολλοὶ δοκοῦντες εἶναι φίλοι οὐκ εἰσὶ καὶ οὐ δοκοῦντές εἰσι· σοφοῦ οὖν ἐστι γινώσκειν ἕκαστον.

---

62) ταὐτόν ἐστιν supplevi ‖ ἐλπίδα] ἐλπίδας S; cf. Gnom. Byz. n. 132 (Wachsmuth); — eodem modo in gemella Socratis sententia apud Stobaeum Flor. II 47 (ταὐτὸν ἐξ ἀσθενοῦς ἀγκυρίου σκάφος ὁρμίζειν καὶ ἐκ φαύλης γνώμης ἐλπίδα) codex A ἐλπίδα pro ἐλπίδας offert.

66) τοῦ iterat S.

70) γίνηται] γίνεται S.

71) βούλῃ om. S ‖ f. 87r inc. οἵ πως, quod in ἢ πῶς mutandum esse docent Antonius I 73 p. 73, 33 sq. et Maximus 20 p. 596 <ὅπερ] ἅπερ Max., sed ὅπερ adgnoscit codex Vatic. Gr. n. 741 ‖ βούλῃ] βούλει Max. ‖ ἐξείπῃς μηδενὶ] μηδενὶ εἴπῃς Ant. Max. ‖ ἀπαιτήσεις] ἀπαιτεῖς Max., nec tamen codd. Vat. 741. 385>.

74) ὁρμεῖν] ὁρμὴν S ‖ ζῶντα] l. ζῶντας cum Stobaei Flor. IV 65, ubi Socrati sententia vindicatur. — Suppeditat App. 115: ἀσφαλὲς om. ‖ ζῶντα] βιοῦντας ‖ παρὰ τὸν (articulum recte om. Stob.) νόμον] παρανόμως ‖ βιοῦν] ζῆν βιοῦντας.

77) (79) Φεύγειν δεῖ τὴν φιλίαν, ὧν τινων ἀμφίβολος ἡ διάθεσις.

78) (80) Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι διαπλανῶνται.

79) (81) Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατὸν οὔτε αἰσχρὸν ἁμάρτημα χρόνῳ.

80) (82) Ὁ βίος καθάπερ νόμισμα διαβληθεὶς ἐν ἀρχαῖς <ἀδόκιμος> εἰς πάντα γίνεται τὸν χρόνον.

81) (83) Οὐδὲ εἷς φροντίζων δόξης ἀγαθῆς γένοιτ' ἂν ἀνὴρ φαῦλος· καλὸν δὲ ἀντὶ βραχείας ἀπολαύσεως ἀλλάξασθαι δόξαν αἰώνιον.

82) (84) Ἑτοιμάζονταί τινες διὰ βίου τὰ πρὸς τὸν βίον, ὡς βιωσόμενοι μετὰ τὸν βίον.

83) (85) Φρόνησις εὐτυχίαν ὡς τὰ πολλὰ χαρίζεται, τύχη δὲ φρόνησιν οὐ ποιεῖ.

84) (86) Οἱ πονηροὶ τῶν ἀνθρώπων, κἂν χρηστότητα ἀπαγγέλλωνται, διὰ τὸν τρόπον οὐ πιστεύονται.

85) (87) Εἴ ποτε δέ τινα ἑώρα ἁμαρτάνοντα, 'ἐπισκεπτέον' ἔλεγε, 'μή ποτε καὶ ἐγὼ τοιούτῳ περιπέσω'.

86) (88) Τοὺς πλουσίους δὲ καὶ ἁπλήστους ὑδρωπιῶσιν ἐοικέναι ἔλεγεν· 'οἱ μὲν γὰρ πεπλησμένοι ὑδάτων διψῶσιν, οἱ δὲ χρημάτων'.

87) (89) Παρεκελεύετο δὲ τοῖς νέοις τρία ταῦτα ἔχειν· ἐπὶ μὲν τῆς γνώμης σωφροσύνην, ἐπὶ δὲ τῆς γλώττης σιγήν, ἐπὶ δὲ τοῦ προςώπου αἰδῶ.

88) (90) Γέρων ἐρωτηθεὶς 'διὰ τί φιλάργυρος εἶ' ἔφη· 'κρεῖττόν ἐστι μεταλλάξαντα τοῖς ἐχθροῖς καταλιπεῖν ἢ ζῶντα τῶν φίλων δεηθῆναι· κατέγνων γὰρ τῆς τῶν πολλῶν φιλίας'.

89) (91) Ὁ αὐτὸς δὲ Πλούταρχος ἀνθρώπου τινὸς αὐτὸν ἀδικήσαντος καὶ περιφεύγοντος καὶ ἁπανταῖν αἰσχυνομένου, συντυχὼν ἅπαξ, εἶπεν· 'οὐ σὲ χρὴ ἐμὲ φεύγειν, ἀλλ' ἐμὲ σὲ ὄντα φαῦλον'.

---

80) ἀδόκιμος om. S.

81) δόξης inc. f. 87^{v} S.

82) ἑτοιμάζονται τινὲς S.

85) δὲ τινὰ S. — Sub Platonis nomine praebet App. 78: δέ τινα ἑώρα] ἑώρα τινά.

86) ἁπλήστους] ἁπλείστους S ‖ ὑδρωπιῶσιν] ὑδροποιῶσιν S. — Platoni adsignat Gnom. Vat. n. 434.

87) αἰδὼ S. — Ad Platonem referunt Gnom. Vat. n. 433 et (cum leni varietate scripturae) App. 80.

88) S praemittit: τοῦ αὐτοῦ ἀποφθέγματα, quod lemma iam ad n. 85 pertinere in propatulo est ‖ διατί S ‖ κρεῖττον ἐστὶ S ‖ μεταλλάξαντα] μεταλλάξαντος S ‖ καταλιπεῖν inc. f. 88^{r} S ‖ ζῶντα] ζῶν S ‖ φίλων] ἐχθρῶν S. — Platoni tribuit Gnom. Vat. n. 428: γέρων] Πλάτων ‖ διὰ τί] διὰ τί γέρων ὤν ‖ κατέγνων] κατέγνω rectius.

89) idem cum parva lectionis varietate de Aristippo narrant Gnom. Vat. n. 27 et App. 27.

90) (92) Ὁ αὐτὸς εἶπεν· ἐὶς τὸ κάτοπτρον κύψας θεώρει καί, εἰ μὲν καλὸς φαίνῃ, ἄξια τούτου πρᾶττε· εἰ δὲ αἰσχρός, τὸ τῆς ὄψεως ἐλλιπὲς ὡράϊζε καλοκἀγαθίᾳ.

91) (93) Ὁ αὐτὸς εἶπεν· ἀτυχίαν κρύπτε, ἵνα μὴ τοὺς ἐχθρούς σου εὐφραίνῃς'.

VI Δημοκρίτου γνῶμαι.

1) (162) Εἰ μὲν ἦν μαθεῖν, ἃ δεῖ παθεῖν, καὶ μὴ παθεῖν, καλὸν τὸ μαθεῖν· εἰ δὲ παθεῖν δεῖ, ἃ δεῖ μαθεῖν, τί δεῖ μαθεῖν; παθεῖν γὰρ χρή.

2) (163) Αὐταρκίῃ τροφῆς μικρὰ νὺξ οὐδέποτε γίνεται.

3) (164) Ὑγείαν ἔχειν παρὰ θεοῦ αἰτοῦνται οἱ ἄνθρωποι, τὴν δὲ ταύτης δύναμιν παρ' ἑαυτοῖς ἔχοντες οὐκ ἴσασιν, ἀκρασίᾳ δὲ τὰ ἐναντία πράσσοντες αὐτοὶ προδόται τῆς ὑγείας γίνονται.

4) (165) Ταῖς τῶν καιρῶν μεταβολαῖς καὶ οἱ σφόδρα δυνατοὶ τῶν ἀσθενεστέρων ἐνδεεῖς γίνονται.

5) (166) Πονηρὰ φύσις ἐξουσίας ἐπιλαβομένη δημοσίας ἀπεργάζεται συμφοράς.

6) (167) Νεκρὸν ἰατρεύειν καὶ γέροντα νουθετεῖν ταὐτόν ἐστι.

7) (168) Τὸν σπουδαῖον φίλον πρὸς μὲν τὰς εὐφροσύνας κληθέντα δεῖ παρεῖναι, πρὸς δὲ τὰς περιστάσεις αὐτόκλητον συμπαρεῖναι.

8) (169) Τὸ μὴ δύνασθαι βοηθεῖν τοῖς φίλοις ἀπορίας, τὸ δὲ μὴ βούλεσθαι κακίας τεκμήριον.

9) (170) Οἱ ἀληθινοὶ φίλοι καὶ τὰς φιλίας ἡδείας καὶ τὰς συμφορὰς ἐλαφροτέρας ποιοῦσιν, ὧν μὲν συναπολαύοντες, ὧν δὲ μεταλαμβάνοντες.

---

9) φαίνῃ] φαίνει S ‖ ἄξια] ἄξιον S ‖ πράττε SM ‖ ἐλλιπὲς] ἐλλειπὲς S.

VI) Δημοκρίτου γνῶμαι] Δημοκρίτου περὶ ἀνάγκης M cf. p. 59 not. 6 supra. — M om. n. 13—19 et n. 22—41.

2) αὐταρκίη SM. — Habet Photius II n. 199, quo loco αὐταρκείῃ τροφῆς μακρὴ νὺξ οὐδέποτε γίνεται pro librorum MV scriptura: αὐτάρκεια τροφῆς (τρυφῆς V) μικρὴ (μικρὰ V) νὺξ οὐδέποτε γίνεται edidi. In 'Excerptis Parisinis' numquam nisi coactus a codicum textu recessi: haec enim lex in Gnomologiis emittendis inprimis observanda est, ut variorum exemplorum memoria, quantum fieri potest, pura atque integra in conspectu ponatur.

3) δύναμιν inc. f. 147^{v} M ‖ πράσσοντες] πρά σαντας (sic) S, πράττοντες M. — Offert Photius II n. 207 non sine lectionis varietate.

5) πονηρὰ M, sed litteram initialem supplevit manus recentior.

7) ὃν M a m. pr. (τ postea m. rec. addidit) ‖ κληθέντα om. M ‖ παρεῖναι] κεκλῆσθαι
παρεῖναι M (superscr. m. rec.).

8) δύνασθαι inc. f. 94^{r} S.

9) ποιοῦσιν] ποιῶσιν S.

10) (171) Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις· ἢ σεαυτὸν αἰτίας ἀπολύων ἢ φίλους ἐκ μεγάλων κινδύνων διασώζων.

11) (172) Νόμῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἴκειν κόσμιον.

12) (173) Ποθητὸς εἶναι μᾶλλον ἢ φοβερὸς κατὰ τὸν βίον προαιροῦ· θν γὰρ πάντες φοβοῦνται, πάντας φοβεῖται.

13) (174) Τὰς μὲν γραμμὰς ἀσφαλεστέρας, τὰς δὲ πράξεις λαμπροτέρας ἔχειν δεῖ.

14) (175) Τὸν ἄρχοντα δεῖ ἔχειν πρὸς μὲν τοὺς καιροὺς λογισμόν, πρὸς δὲ τοὺς ἐναντίους τόλμαν, πρὸς δὲ τοὺς ὑποτεταγμένους εὔνοιαν.

15) (176) Δεῖ τὸν ἑτέρων μέλλοντα ἄρξειν αὐτὸν ἑαυτοῦ πρῶτον ἄρχειν.

16) (177) Μικραὶ χάριτες ἐν καιρῷ μέγισταί εἰσι τοῖς λαμβάνουσι ταύτας ἐν περιστάσει.

17) (178) Ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον.

18) (179) Ἐν μὲν τοῖς ἐσόπτροις ὁ τῆς ὄψεως, ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται.

19) (180) Τὰς μὲν πόλεις ἀναθήμασι, τὰς δὲ ψυχὰς μαθήμασι δεῖ κοσμεῖν.

20) (181) Γαμβροῦ ὁ μὲν ἐπιτυχὼν εὗρεν υἱόν, ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.

21) (182) Διηνεκὴς ἐπὶ πᾶσιν ἀνθρώπως ἡ τοῦ πλούτου ἐπιθυμία· μὴ κτηθεῖσα μὲν γὰρ τρύχει, κτηθεῖσα δὲ βασανίζει ταῖς φροντίσιν, ἀποκτηθεῖσα δὲ ταῖς λύπαις.

22) (183) Θεοῦ ἄξιόν σε ποιήσει τὸ μηδὲν ἀνάξιον <αὐτοῦ> πράττειν.

23) (184) Θεῷ ὅμοιον ἔχει ἄνθρωπος τὸ εὖ ποιεῖν, <ὅταν τὸ εὖ ποιεῖν> μὴ καπηλεύηται, καὶ τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.

24) (185) Καὶ κυβερνήτης ἀγαθὸς ἐνίοτε ναυαγεῖ καὶ ἀνὴρ σπουδαῖος ἀτυχεῖ.

25) (186) <Ὁ αὐτὸς ἐρωτηθείς,> πῶς ἄν τις γένηται πλούσιος, ἐὰν τῶν ἐπιθυμιῶν ἔσται πένης, <φησίν>.

---

11) εἴκειν] ἥκειν S.

13) τὰς δὲ] ἃς δὲ S.

15) ἑαυτοῦ inc. f. 94^{v} S.

16) μέγισται εἰσὶ S.

18) verbis paululum inflexis praebet App. 123; noster textus apud Antonium et Maximum recurrit cf. supra p. 51.

20) ἐπιτυχῶν S ‖ καὶ om. M.

21) μὴ acc. m. rec. M ‖ τρύχει] τρέχει S ‖ ἀποκτηθεῖσα acc. m. rec. M.

22) μὴ δὲν S ‖ αὐτοῦ supplevi.

23) ὅταν τὸ εὖ ποιεῖν om. S ‖ καὶ τὸ inc. f. 95^{r} S. — Cf. nota ad Gnom. Vat. n. 53 (App. 13).

25) ὁ αὐτὸς ἐρωτηθεὶς et φησὶν om. S; supplementum praebent Maximus 12 p.

26) (187) Ἡ μὲν μάχαιρα τέμνει, ἡ δὲ διαβολὴ χωρίζει φίλους.

27) (188) Κρείσσονές εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες ἢ ὁ τῶν ἀπαιδεύτων πλοῦτος.

28) (189) Ἡ τῶν ἀγαθῶν ἔρις ὠφελεῖ τὸν ζηλοῦντα, μὴ βλάπτουσα τὸν ζηλούμενον.

29) (190) Μικρὰ διδόναι βούλου μᾶλλον ἢ μεγάλα ἐγγυᾶν· ὅτε γὰρ κίνδυνος ἄπεστι, καὶ ὁ λαβὼν ἔργου, οὐ λόγου χρείαν ἔχει.

30) (191) Ἐπιτηδειότατος πρὸς φιλίαν ὁ πλεῖστα ἀδικεῖσθαι δυνάμενος καὶ φέρειν.

31) (192) Πλοῦτος ἀπὸ κακῆς ἐργασίας ἐπιγιγνόμενος ἐπιφανέστερον ὄνειδος κέκτηται.

32) (193) Κρεῖσσον τὰ οἰκεῖα ἐλέγχειν ἁμαρτήματα ἢ τὰ ἀλλότρια.

33) (194) Τάχος καὶ ἔπειξις ἀπέστω τοῦ ἐσθίειν· κυνῶδες γὰρ τοῦτο καὶ θηρίῳ μᾶλλον ἢ ἀνθρώπῳ πρέπον.

34) (195) Ὥςπερ οὖν ἄλειμμα οὐ τὸ ἡδὺ καλὸν οὐδὲ τὸ μακρόν, ἀλλὰ τὸ ὑγιαῖνον, οὕτω καὶ τροφὴ οὐχ <ἡ> ἡδεῖα καλὴ οὐδ' ἡ πολλή, ἀλλ' ἡ ὑγιεινή.

35) (196) Ὁ ἀρετὴν τιμῶν πρώτην ἀλήθειαν τιμᾷ, καὶ μάλιστα ὡς ἀγαθοῦ παντὸς ἡγεμόνα οὖσαν.

36) (197) Ἡμερήσιοι ὕπνοι σώματος ὄχλησιν ἢ ψυχῆς ἀδημοσύνην ἢ ἀργίην ἢ ἀπαιδευσίην σημαίνουσιν.

37) (198) Ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων κρατῶν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρείσσων.

38) (199) Οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ' ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐλυμαίνετο· φθόνος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται.

39) (200) Χρήματα πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίας δὲ πάντων κάκιον.

40) (201) Κρεῖσσον ἄρχεσθαι τοῖς ἀνοήτοις ἢ ἄρχειν.

41) (202) Ὑπὸ γυναικὸς ἄρχεσθαι ὕβρις ἂν εἴη ἐσχάτη.

---

569 aliique fontes ad Gnom. Vat. n. 463 prolati, qui etiam γένηται et ἐὰν — ἔσται (cum S) suppeditant; recte Stobaeus Flor XVII 31 Σωκράτης ἐρωτηθεὶς [ὑπό τινος], πῶς ἂν γένοιτό τις πλούσιος, 'εἰ τῶν ἐπιθυμιῶν' ἔφη 'εἴη πένης' cf. praeterea XCIV 28 (= Arsenius p. 326, 24 sq.) Κλεάνθης ἐρωτώμενος, πῶς ἄν τις εἴη πλούσιος, εἶπεν· 'εἰ τῶν ἐπιθυμιῶν εἴη πένης.'

27) κρείσσονες εἰσὶν S.

32) μὴ inc. f. 95^{v} S ‖ κατοικοῦσι] κατοικῶσι S.

34) ἡ adieci.

35) τιμᾷ] τιμᾶν S.

39) κάκιον inc. f. 96^{r} S.

VIII Σωκράτους.

1) (226) Φαύλου ἀνδρὸς καθάπερ κυνὸς σιγηροῦ δεῖ τὴν σιγὴν ἢ τὴν φωνὴν εὐλαβεῖσθαι.

2) (227) Οἱ φιλίαν παραθεωροῦντες, κἂν τὴν ἐκ τῶν ἠδικημένων ἐκφύγωσι κόλασιν δι' ἀσθένειαν, ἀλλ' οὖν γε τὴν ἐκ τοῦ θεοῦ τιμωρίαν οὐ διακρούονται.

3) (228) Ἐν μὲν τῷ πλεῖν πείθεσθαι δεῖ τῷ κυβερνήτῃ, ἐν δὲ τῷ ζῆν τῷ λογίζεσθαι δυναμένῳ βέλτιον.

4) (229) Καλὸν μὲν ἐπὶ τῆς ἑστίας φαίνεσθαι τὸ πῦρ λαμπρόν, ἐπὶ δὲ τῆς εὐτυχίας τὸν νοῦν.

5) (230) Οἱ μὲν ἀκρατεῖς ἐν ταῖς ἀῤῥωστίαις, οἱ δὲ ἄφρονες ἐν ταῖς ἀτυχίαις εἰσὶ δυσθεράπευτοι.

6) (231) Αἱ μὲν βρονταὶ τοὺς παῖδας, αἱ δὲ ἀπειλαὶ τοὺς ἄφρονας καταπλήττουσιν.

7) (232) Τὸ μὲν πῦρ ὁ ἄνεμος, τὸν δὲ ἔρωτα ἡ συνήθεια ἐκκαίει.

8) (233) Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διίστησι, τοὺς δὲ ἀνοήτους ἀνθρώπους τὸ οἴημα.

9) (234) Ὁ μὲν οἶνος συμμεταβάλλει τοῖς ἀγγείοις, ὁ δὲ πλοῦτος τοῖς τῶν κεκτημένων τρόποις.

10) (235) Ἱδρὼς μὲν ὁ ἐκ τῶν γυμνασίων εὐσχημονέστερος, πλοῦτος δὲ ἐκ τῶν ἰδίων πόνων.

11) (236) Τὰ δὲ τῶν πλουσίων καὶ ἀσώτων χρήματα ταῖς ἐπὶ τῶν κρημνῶν συκαῖς εἴκαζεν, ἀφ' ὧν ἄνθρωπον μηδὲν λαμβάνειν, κόρακας δὲ καὶ ἰκτίνους, ὥςπερ παρὰ τούτων ἑταίρας καὶ κόλακας.

12) (237) Τοὺς πλεονέκτας εἴκαζε ταῖς ὄρνισιν, ὧν ἡ μὲν καταπίνει, ὅ τι ἂν προστύχῃ, καὶ ἔστιν ὅτε πνίγεται, αἱ δ' ἄλλαι περιακολουθοῦσιν, ἀφελεῖν αὐτὸ σπεύδουσαι, ἵνα παρὰ μέρος πνιγῶσιν.

VIII) M om. n. 3—42.

1) = App. 112 cum varia scriptura; eundem textum Antonius et Maximus comprobant; cf. p. 49.

3) πείθεσθαι] πύθεσθαι S.

4) ἑστίας S ‖ λαμπρὸν inc. f. 97^{v} S.

5) = Photius I n. 118.

8) κενοὺς] κοινοὺς S a m. pr.

9) συμμεταβάλλει] συμμεταβάλλῃ S.

11) συκαῖς] συκαίαις S (h. e. συκέαις) ‖ εἴκαζεν] εἰκάζειν S.

12) αἱ δ' inc. f. 98^{r} S ‖ αὐτὸ] ἄντην S (per scripturae compendium).

13) (238) <Ἐμὲ δ'> ἀδικείτω πλούσιος καὶ μὴ πένης·
ῥᾴον φέρειν γὰρ κρειττόνων τυραννίδα.

14) (239) Τῦφος καὶ πλοῦτος καὶ θάνατος καὶ δυναστεία αἰφνιδίῳ θανάτῳ πίπτουσι κάτω.

15) (240) Τοὺς ἐπιεικεῖς ἄνδρας ἐγείρουσιν εἰς ὀργὴν κακούργων τρόποι.

16) (241) Δηλοῖ πολλάκις κακοσύνθετος ὄψις τῆς ψυχῆς τὸν σκαιὸν τρόπον.

17) (242) Ἦθος προσηνὲς καὶ πρᾶον ῥῆμα οἶδε μαλάσσειν καὶ τοὺς ἄγαν λιθώδεις.

18) (243) Ἴστησι τὰ ῥήματα ὀργήν, καὶ μάλιστα ὑπὸ τῶν ἡττόνων προφερόμενα.

19) (244) Παραίνει μὴ γλώσσῃ θρασείᾳ χρῆσθαι· πολλάκις γὰρ τὸ θράσος καὶ αὐτὴν διώλεσε τὴν κεφαλήν.

20) (245) Ἐλευθερίαν ὁ τιμῶν καὶ νόμοις εἴκων πάσης ἀπήλλακται δυσχεροῦς μερίμνης.

21) (246) Πολλοὶ θανόντας ἀμείβουσι τοῖς τάφοις, οὓς τῷ φθόνῳ πρότερον ἤλγυναν ζῶντας.

22) (247) Ὤιτινι χάριν καταθῇς, θᾶττον τὴν χάριν δός· ἡ γὰρ βραδύτης λυμαίνεται τὴν δόσιν.

23) (248) <Ὁ αὐτὸς ἔφασκε>, μὴ ἐκ τῶν λόγων τὰ πράγματα, ἀλλ' ἐκ τῶν πραγμάτων τοὺς λόγους κρατεῖν· οὐ γὰρ ἕνεκεν τῶν λόγων τὰ πράγματα συντελεῖσθαι, ἀλλ' ἐκ τῶν πραγμάτων τοὺς λόγους.

24) (249) Ἐρωτηθεὶς ὑπό τινος, εἴ τις κατασχεῖν δύναται λόγον ἀπόρρητον, ἔφη· ὅστις καὶ διάπυρον ἄνθρακα τῇ γλώσσῃ κατασχεῖν δυνήσεται.

25) (250) Θεασάμενος δέ τινα τῶν μαθητῶν αὐτοῦ τοῦ μὲν ἀγροῦ ἐπιμελούμενον, τῆς δὲ πράξεως ἀμελοῦντα, ὅρα, ὦ οὗτος,' ἔφη, 'μὴ τὸν ἀγρὸν ἐξημερῶσαι βουλόμενος τὴν ψυχὴν ἀγριώσῃς.'

---

13) ἐμὲ δ'] om. S; Menandri est fragmentum (n. 688 K.), quo de disputavit Wachsmuthius, Studien zu den griechischen Florilegien p. 136.

14) τύφος S.

16) δηλοῖ] ηλοῖ (sine littera initiali) S.

18) ῥήματα] χρήματα S ‖ προφερόμενα] προσφερόμενα S.

20) εἴκων] ἥκων S.

22) ᾧτινι] ὅτινι S ‖ καταθῇς] καταθεὶς S ‖ δὸς] δότω S ‖ δόσιν inc. f. 98ᵛ S.

23) ὁ αὐτὸς ἔφασκε supplevi. — Habet Gnom. Vat. n. 134 (ὁ αὐτὸς = Ἀνάχαρσις).

24) S lemma ἀποφθέγματα τοῦ αὐτοῦ praemittit, quod ad n. 23 referendum esse elucet. — Dictum offerunt Gnom. Vat. n. 475 et App. 91: ὑπό τινος om. ‖ εἴ τις κατασχεῖν δύναται] εἰ κατασχεῖν δύναταί τις ‖ καὶ om. ‖ γλώσσῃ] γλώττῃ Vat.

25) δὲ τινὰ S ‖ ὅρα] ὥρα S ‖ ὦ] ὁ S. — Exhibet Gnom. Vat. n. 365: θεασάμενος δέ τινα] ὁ αὐτὸς (scil. Ἰσοκράτης) θεασάμενός τινα ‖ τῶν μαθητῶν] τῶν μαθητῶν αὐτοῦ ‖ ἀγριώσῃς] ἐξαγριώσῃς.

26) (251) Ἰδὼν δὲ πλούσιον ἀπαίδευτον [ἔφη] ἰδοὺ καὶ τὸ χρυσοῦν' φησὶν ἀνδράποδον'.

27) (252) Ἐρωτηθείς· τίς σοι πλουσιώτερος εἶναι δοκεῖ;' εἶπεν· ὁ ἐλαχίστοις ἀρκούμενος· αὐτάρκεια γάρ ἐστι φύσεως πλοῦτος.'

28) (253) Ἐν συμποσίῳ δέ τινι τὸν αὐτῷ πολὺν οἶνον διδόμενον ἐξέχεεν· ἐπεὶ δέ τινες αὐτὸν ἐμέμφοντο ἐπὶ τῷ ἀπολλύναι τὸν οἶνον, ἔφη· ἐὰν γὰρ αὐτὸν ἐκπίω, οὐ μόνον αὐτὸς ἀπόλλυται, ἀλλὰ κἀμὲ προαπόλλυσιν.

29) (254) Ἐρωτηθεὶς δέ, τί λυπεῖ τοὺς ἀγαθούς, <εἶπεν>· εὐτυχία πονηρῶν.'

30) (255) Ἐρωτηθεὶς ὑπό τινος, τί τῶν ζώων κάλλιστόν ἐστιν, εἶπεν· ἄνθρωπος παιδείᾳ κεκοσμημένος.'

31) (256) Ἐρωτηθεὶς περὶ ἀνδρείας καὶ δικαιοσύνης, ὁποτέρα βελτίων, ἔφη· οὐδὲν ἀνδρείας χρήζομεν, ἐὰν πάντες ὦμεν δίκαιοι.'

32) (257) Θεασάμενος δὲ τὰς τῶν Κορινθίων πόρτας ἰσχυρῶς κεκλεισμένας ἔφη· μὴ γυναῖκες ἐνθάδε κατοικοῦσι;'

33) (258) Κάκιστον δὲ ἔλεγεν ἄρχοντα εἶναι τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον.

34) (259) Ὀνειδιζόμενος δέ ποτε, ὅτι βαρβαρίζει, ἔφη· ἐγὼ μὲν τῷ λόγῳ, ὑμεῖς δὲ τῷ τρόπῳ.'

35) (260) Τῷ τράγῳ ἔλεγεν ὁ ἔριφος· οἱ μάγειροι ἀπέθανον'· ὁ δὲ πρὸς αὐτόν· οὐαί, τέκνον, ὅτι εἰς χωρικοὺς ἐμπεσούμεθα.'

36) (261) Φαλακρὸς καθήμενος κατεναντίον κριοῦ νυστάζων πληγὴν ἑαυτῷ προξενεῖ.

37) (262) Ἐρωτηθείς, τίνες ἀταράχως ζῶσιν, εἶπεν· οἱ μηδὲν ἑαυτοῖς ἄτοπον συνειδότες.'

---

26) ἔφη delendum esse significavi. — Apophthegma adgnoscunt Gnom. Vat. n. 484 et App. 95: ἰδὼν δὲ] Σωκράτης ἰδὼν Vat., ὁ αὐτὸς (scil. Σωκράτης) ἰδὼν App. ‖ ἔφη om. ‖ καὶ om. ‖ φησὶν] φησὶ (post ἰδοὺ) ‖ ἀνδράποδον] ἀπαίδευτον (l. πρόβατον) Vat.

27) Gnom. Vat. n. 476 et App. 92.

28) δὲ τινὶ S ‖ δὲ τινὲς S ‖ ἐπὶ inc. f. 99ʳ S ‖ τῷ] τὸ S ‖ ἀπολλύναι] ἀπολύναι S ‖ ἀλλὰ] ἀλλ' ἢ S. — Repetit Gnom. Vat. n. 488: ἐν συμποσίῳ — δέ τινες] Σωκράτης ἐν συμποσίῳ τινὶ παρεκχέοντα οἶνον ἐπεί τινες ‖ ἔφη] ἔφησεν.

29) εἶπεν om. S. — Praebet Gnom. Vat. n. 165, ubi ὁ αὐτὸς Glyconem innuit; (cf. etiam supra p. 64): εὐτυχία πονηρῶν] πονηρὸς εὐτυχῶν.

31) ὁποτέρα βελτίων] ὁπότερα βελτίονα S. — De sententia cf. Photius I n. 120.

32) κατοικοῦσι] κατοικῶσι S.

33) cf. quae dixi ad Gnom. Vat. n. 472.

34) δὲ ποτὲ S.

36) ἑαυτῷ inc. f. 99ᵛ.

37) de sententia cf. Photius II n. 198 et Gnom. Vat. n. 147 cl. n. 450.

38) (263) Ἐρωτηθείς, πῶς ἄν τις ἀλύπως διάγοι, 'τοῦτο ἀδύνατον' εἶπεν· 'οὐ γὰρ ἔστι πόλιν ἢ οἰκίαν οἰκοῦντα καὶ ἀνθρώποις ὁμιλοῦντα μὴ λυπεῖσθαι.'

39) (264) Ἀπαγγείλαντός τινος αὐτῷ ὅτι 'ὁ δεῖνά σε κακῶς λέγει' 'καὶ τυπτέτω με' ἔφη 'μὴ παρόντα.'

40) (265) Κρεῖττον εἶναι τῷ ποδὶ ὀλισθαίνειν ἢ τῇ γλώσσῃ.

41) (266) Καταμαθὼν δέ τινα τῶν γνωρίμων ἐσπουδακότα, ὅπως αὐτῷ ἡ εἰκὼν ὁμοία γένηται, πρὸς αὐτὸν εἶπε· 'σύ, ὅπως μέν σοι ὁ λίθος ὅμοιος γένηται, ἐσπούδακας, ὅπως δὲ μὴ αὐτὸς λίθῳ ὅμοιος γένῃ, οὐ φροντίζεις.'

42) (267) Ἐρωτηθείς· 'τί οὖν ἄριστόν ἐστι μάθημα;' ἔφη· 'τὸ ἀπομαθεῖν τὰ κακά.'

XIV Δημώνακτος.

1) (332) Κόλαζε κρίνων, ἀλλὰ μὴ θυμούμενος.

2) (333) Αἰσχρὸν μὲν ἐν ἄλλοις ἀποδέχεσθαι τὰς ἀρετάς, ἐν ἑαυτοῖς δὲ ἔχειν τὰς κακίας.

3) (334) Τοσοῦτον εἰς ἀρετὴν προκόψεις, ὅσον ἂν ὑφέλῃς τῶν ἡδονῶν.

4) (335) Τοῖς ὠσὶ πλέον ἢ τῇ γλώττῃ χρῶ.

5) (336) Ἐν ἀλλοτρίοις παραδείγμασι παίδευε σεαυτὸν καὶ ἀπαθὴς τῶν κακῶν ἔσῃ.

6) (337) Οἱ πολλῶν παρὰ καιρὸν ἐφιέμενοι κινδυνεύουσι μηδὲ τῶν ὀλίγων τυγχάνειν.

7) (338) Οὔτε οἱ ἄμουσοι τοῖς ὀργάνοις οὔτε οἱ ἀπαίδευτοι ταῖς τύχαις δύνανται συναρμόσασθαι.

8) (339) Ὁ λόγος ὥσπερ πλάστης ἀγαθὸς <καλὸν> τῇ ψυχῇ περιτίθησι σχῆμα.

9) (340) Οἱ ἀπαίδευτοι καθάπερ οἱ ἁλιευόμενοι ἰχθύες ἑλκόμενοι σιγῶσιν.

---

38) διάγοι] διάγει S.

39) ἀπαγγείλαντος τινὸς S ‖ δεῖνα σε S.

40) εἶναι etiam apud Maximum 47 p. 647 et in codice Palatino Gr. 328 f. 169^{r} legi ad Gnom. Vat. n. 483 monui; cf. omnino nota ad App. 105.

41) δὲ τινὰ S.

42) Secundo tribuit App. 97, ubi haud levis varietas scripturae occurrit.

XIV) Δημώνακτος] Δημονάκτου S. — M om. n. 2—19.

1) cf. 'Curae Menandreae' p. 182.

6) καιρὸν] καιρῶν S ‖ μὴ δὲ S.

8) καλὸν om. S ‖ τῇ ψυχῇ] τῆς ψυχῆς S.

9) καθάπερ inc. f. 105^{r} S ‖ ἰχθῦες S.

10) (341) Αἱ μὲν χελιδόνες εὐδίαν ἡμῖν προσημαίνουσιν, οἱ δὲ ἐκ φιλοσοφίας λόγοι ἀλυπίαν.

11) (342) Ἐν μὲν εὐδίᾳ σπάνιον <τὸ> ναυαγῆσαι, ἐν δὲ εὐβουλίᾳ τὸ ἀτυχῆσαι.

12) (343) Δεῖ ὥσπερ φορτίον τὴν λύπην ἀναϑέμενον μὴ στένοντα φέρειν.

13) (344) Δείκνυσιν ἡ μὲν τροπὴ τὸν κατὰ ἀλήϑειαν ἀνδρεῖον, ἡ δὲ ἀτυχία τὸν φρόνιμον.

14) (345) Τινὸς δὲ σοφιστοῦ αἰτιωμένου αὐτὸν καὶ φήσαντος· ‘διὰ τί με κακῶς λέγεις;’ ‘ὅτι μὴ καταφρονεῖς’ ἔφη ‘τῶν κακῶς λεγόντων.’

15) (346) Τοὺς δὲ τῶν μὲν σωμάτων ἐπιμελουμένους, ἑαυτῶν δὲ ἀμελοῦντας ὠνείδιζεν, ὡς τῶν μὲν οἴκων ἐπιμελουμένους, τῶν δ’ ἐνοίκων ἀμελοῦντας.

16) (347) Ἔλεγε δέ, ὅτι οἱ ἄνϑρωποι τάφους μὲν κατασκευάζονται καὶ ἐντάφια, ὥσπερ μέλλοντες αὐτοῖς χρῆσϑαι, ἀφοβίαν δὲ καὶ ἀλυπίαν τὴν περὶ τοῦ ϑανάτου ἢ χρήσονται οὐ παρασκευάζονται.

17) (348) Ἄλλων δ’ ἐξεταζόντων, εἰ ὁ κόσμος ἔμψυχος, καὶ αὖϑις, εἰ σφαιροειδής, ‘ἡμεῖς’ ἔφη· ‘περὶ μὲν τοῦ κόσμου πολυπραγμονεῖτε, περὶ δὲ τῆς αὑτῶν ἀκοσμίας οὐ φροντίζετε.’

18) (349) Ἐλάσσω οἱ ἄνϑρωποι κακὰ πάσχουσιν ὑπὸ τῶν ἐχϑρῶν ἢ ὑπὸ τῶν φίλων· τοὺς μὲν γὰρ ἐχϑροὺς δεδιότες φυλάσσονται, τοῖς δὲ φίλοις ἀνεῳγμένοι εἰσὶ καὶ γίνονται σφαλεροὶ καὶ εὐεπιβούλευτοι.

19) (350) Εἰσί τινες, οἳ τὸν παρόντα βίον οὐ ζῶσιν, ἀλλὰ παρασκευάζονται πολλῇ σπουδῇ ὡς ἕτερον βίον βιωσόμενοι, οὐ τὸν παρόντα.

---

10) εὐδίαν] εὐδείαν S.

11) εὐδίᾳ] εὐδεία S ‖ τὸ om. S. — Repetit App. 117.

12) cf. p. 64 supra.

14) lemma τοῦ αὐτοῦ ἀποφθέγματα praemittit S ‖ διατί S ‖ καταφρονεῖς] καταφρονῇς S.

16) ἦ] ἢ S. — Maximi lemma Χαρικλείας (28 p. 614) p. 64 tractavi; de sententia cf. ‘Curae Menandreae’ p. 185 sq.

17) εἰ ὁ κόσμος inc. f. 105^{v} S ‖ αὑτῶν] αὐτῶν S.

18) ἐλάσσω] ἐλάσσων S ‖ κακὰ] κακῶς S ‖ ἐχθρῶν et φίλων sedes in S permutarunt ‖ εὐεπιβούλευτοι] ἐπιβούλευτοι S. — De sententia egi ad Gnom. Vat. n. 424.

19) εἰσὶ τινὲς S.

Photius

ANALECTA PHOTIANA

SCRIPSIT

LEO STERNBACH.

CRACOVIAE.
SUMPTIBUS ACADEMIAE LITTERARUM.
APUD BIBLIOPOLAM SOCIETATIS LIBRARIAE POLONICAE.
(SPÓŁKA WYDAWNICZA POLSKA).
1893.

PA
[5000]
.P5
S
1893
cons.

Seorsum impressum ex XX. Tomo Classis philologicae
Academiae Litterarum Cracoviensis.

Cracoviae, 1893. — Typis Universitatis Iagellonicae, provisore A. M. Kosterkiewiczio.

ANALECTA PHOTIANA

SCRIPSIT

LEO STERNBACH.

Sententiarum corpusculum, quod nuper 'Curis Menandreis' subiunxi*), praecepta ad usum vitae utilissima continet in 134 eclogas distributa, quae ad unitatis rationem ita reducuntur, ut ad eundem honestae vitae finem tendant. Quodsi operis contextus in iudicium venit, haudquaquam continuatio seriesque gnomarum conspicitur, ut alia ex alia nexa et omnes inter se aptae colligataeque videantur, sed trunci male conglutinati evadunt, quorum primus n. 1—2 et 64—109 complectitur, secundus n. 3—61 et 63 occupat, tertius sententias reliquas (n. 62 et 110—134) comprehendit.

Ac prima quidem pars epitomen epistulae proponit, quam a. 865 Photius, patriarcha Constantinopolitanus, ad Michaelem, Bulgariae principem, de principis Christiani officiis scripsit (Epist. I n. 8, Patrol. Gr. vol. CII p. 628 sqq. Migne):

N. 1) Πρῶτον ἁπάντων καλῶν οἷόν τις κρηπὶς καὶ βάσις ἀῤῥαγὴς ἡ πρὸς Θεὸν εὐσέβεια καὶ πίστις ὀρθὴ σπουδαζέσθω σοι· ἐπὶ τοιούτῳ γὰρ θεμελίῳ πᾶν ἐποικοδομεῖται ἀρετῆς εἶδος καὶ καλοκαγαθίας.

Cf. cap. XXIV σὺ τοίνυν (ὦ τί σε προσειπὼν ἀξίως εἴπω τοῦ πόθου;) τῇ αἴγλῃ τοῦ θείου πνεύματος τὴν ψυχὴν αὐγασθεὶς καὶ πρὸς τὸ τῆς εὐσεβείας φέγγος ἀναχθεὶς καὶ ἔργον ἐργασάμενος, δι' οὗ πρὸς τὴν τοῦ μεγάλου Κωνσταντίνου πρᾶξιν ἀνυψώθης, κατὰ μίμησιν ἔχου τῆς ἀπ' ἀρχῆς σου γνώμης καὶ βουλῆς καὶ συνέσεως· στῆθι στερρῶς ἐν τῇ πέτρᾳ τῆς πίστεως, ἐν ᾗ καλῶς ὑπὸ Κυρίου τεθεμελίωσαι· ἐποικοδόμει τῇ ὀρθῇ σου

*) 'Rozprawy Wydziału filologicznego Akademii Umiejętności' vol. XVII (Cracoviae 1892) p. 229 sqq.

Rm. 22. III. 35

πίστει πράξεις ἀγαθὰς καὶ βίου σεμνότητα κτλ. cl. cap. V τὸ δὲ τῆς ὀρθοδοξίας ἀκήρατον καὶ ἀρχαιοπαράδοτον φρόνημα ταῖς εὐσεβούντων ψυχαῖς εἰς ἀδίστακτον σεβασμιότητα καθιδρύνεται.

2) Πίστευε τὴν εὐχὴν Θεῷ συνάπτειν καὶ οἰκειοῦν, ὁμιλίαν ἔνθεον οὖσαν καὶ συνουσίαν νοερὰν τοῦ πάντων καλλίστου καὶ τιμιωτάτου, ἐξ οὗ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶσα τελείωσις καὶ τῶν παθῶν ἀποκάθαρσις περιγίνεται. Οὕτω φρονῶν περὶ τῆς εὐχῆς εὔχου μὲν καταμόνας ἰδίας εὐχὰς τῷ Θεῷ καθ' ἑαυτόν, εὔχου δὲ καὶ ἅμα τῷ πλήθει ἐν τῷ φανερῷ· δι' ἑκατέρου γὰρ τὸ θεοφιλὲς καὶ ὅσιον ὑποδείκνυται, καὶ τὸ μὲν εἰς οἰκεῖον κέρδος συντελεῖ, τὸ δὲ καὶ τοὺς ὁρῶντας εἰς μίμησιν παρακαλεῖ.

Cf. cap. XXIX εὐχὴ μὲν οὖν Θεῷ συνάπτει καὶ οἰκειοῖ, ὁμιλία τις ἔνθεος οὖσα καί συνουσία νοερὰ τοῦ πάντων καλλίστου καὶ τιμιωτάτου· ἐξ οὗ πᾶσα μὲν οὐσίωσις καὶ συνοχή, πᾶσα δὲ πρόνοια καὶ χορηγία τῶν ἀγαθῶν, πᾶσα δὲ τελειότης καὶ διακάθαρσις τῶν παθῶν κτλ. et cap. XXX σὺ τοίνυν προσεύχου μὲν εὐχὰς ἰδίας διαπαντὸς καὶ καθ' ἑαυτὸν τῷ Θεῷ, προσεύχου δὲ καὶ ἅμα τῷ πλήθει καὶ ἐν τῷ φανερῷ· δι' ἑκατέρου μὲν γὰρ θεοφιλῶς πραττομένου τὸ ὅσιον ἔστιν ἀποδιδόναι. Ὅσον δὲ τὸ πρότερον εἰς καθαρότητα διανοίας πλεονεκτεῖ, τοσοῦτον τὸ δεύτερον εἰς μίμησιν τοὺς ὁρῶντας παρακαλεῖ, καὶ τὸ μὲν εἰς οἰκεῖον κέρδος συντελεῖ, τὸ δὲ καὶ τοὺς ἄλλους οἶδεν ὠφελεῖν· ὧν ἡ σωτηρία καὶ ἡ προκοπὴ μεγάλη πάλιν τῆς ἀρετῆς ἐστι τοῦ ἄρχοντος μαρτυρία.

64) Τῶν περὶ τὸ σῶμα ἠθῶν καὶ σχημάτων καὶ κινήσεων μὴ ὑπερόρα ὡς εὐτελῶν· καὶ γὰρ ἡ ἐν αὐτοῖς ἀρίστη τάξις καὶ κατάστασις οὐκ ἐλάχιστον μέρος φρονήσεως ἔδοξε· δεῖ τοιγαροῦν καὶ προσώπου διαθέσει καὶ κόμης ἐπιμελείᾳ καὶ βαδίσματος εὐταξίᾳ καὶ περιβολῇ ἐσθῆτος κόσμιον καὶ σεμνὸν �ρᾶσθαι, μήτε εἰς τὸ βλακῶδες καὶ περίεργον ἐκφερόμενον μήτε πέρα τοῦ μετρίου πρὸς τὸ ἠμελημένον καὶ ῥᾴθυμον καθελκόμενον.

Cf. cap. XXXIV μηδὲ τῶν περὶ τὸ σῶμα δὲ ἡμῶν (l. ἠθῶν vocula δὲ omissa) καὶ σχημάτων καὶ κινήσεων ὡς εὐτελῶν ὑπερόρα· καὶ γὰρ καὶ ἡ ἐν αὐτοῖς ἀρίστη τάξις καὶ κατάστασις οὐκ ἐλάχιστον μέρος φρονήσεως ἔδοξεν εἶναι, καὶ τῶν ἀνθρώπων, ὅσοι μὴ συνιδεῖν εἰσιν ἐκ τοῦ ῥᾴστου δεινοὶ τὴν ἐν τῇ ψυχῇ δύναμιν καὶ τὸ κάλλος, οὗτοι τοῖς ἔξωθεν θεάμασι ξεναγωγούμενοι καὶ τῶν ἀδήλων ἐρασταὶ καὶ ἐπαινέται καθίστανται. Διὰ τοῦτο δεῖ καὶ προσώπου διαθέσει καὶ κόμης ἀσκήσει καὶ περιβολῇ ἐσθῆτος κόσμιον �ρᾶσθαι καὶ σεμνόν, μήτε εἰς τὸ βλακῶδες καὶ περίεργον ἐκφερόμενον μήτε πάλιν πέρα τοῦ μετρίου πρὸς τὸ ἠμελημένον καθελκόμενον· ἑκάτερον γὰρ ἀπρεπὲς καὶ εὐκαταφρόνητον καὶ ἀρχικῆς πολιτείας ἀλλότριον. Καὶ βαδίσματος δὲ πρέπει τῷ ἄρχοντι εὐταξία, μήτε εἰς τὸ θηλυπρεπὲς καὶ

ἔκλυτον ἀσχημονοῦντι τὴν κίνησιν μήτε μὴν εἰς τὸ ἀθρόον καὶ τεταραγμένον καὶ ἀνώμαλον ταύτην ἐκνεωτερίζοντι· καὶ ὅλως πᾶσα κίνησις τάξει κοσμείσθω.

65) Αἰσχρορρῆμοσύνης πάσης καὶ ἀκοὴ καὶ γλῶσσα καθαρευέτω· ἐφ' οἷς γάρ τις ἀκούων χαίρει, ταῦτα καὶ λέγειν οὐκ αἰσχύνεται· ἃ δὲ λέγειν οὐκ ἐρυθριᾷ, ταῦτα ὅτι καὶ πράττειν οὐκ αἰσχυνθήσεται, μεγάλην παρέσχεν ἀπόδειξιν.

Cf. cap. XXXVII αἰσχρορρήμοσύνης δὲ πάσης καὶ ἀκοὴ καὶ γλῶσσα καθαρευέτω· ἃ μὲν γάρ τις ἀκούων ἥδεται, ταῦτα καὶ λέγειν οὐκ αἰσχύνεται, <adde: ἃ δὲ λέγειν οὐκ ἐρυθριᾷ, ταῦτα> ὅτι καὶ πράττειν οὐκ αἰσχυνθήσεται, μεγάλην παρέσχεν ἀπόδειξιν.

66) Τὸ πρὸς γέλωτας διαθρύπτεσθαι μετὰ τοῦ ἀσχημονεῖν τὴν μορφὴν καὶ τοῦ ἤθους ἐστὶν ἐξυβρίζειν τὴν εὐστάθειαν.

= cap. XXXVI.

67) Ἔχε τὰ ὦτα τοῖς μὲν ἀδικουμένοις ἠνεῳγμένα, πρὸς δὲ τὰς τῶν ἀδικούντων πιθανολογίας ἀποκεκλεισμένα· χείλη τε (l. δὲ) κατηγορίας καὶ συκοφαντίας προφέροντα ἀποστρέφου· πολλάκις γὰρ μία φωνὴ συκοφάντου καὶ παῖδας κατὰ πατέρων ἐξέμηνε καὶ συγγενεῖς κατ' ἀλλήλων ἐπανέστησε καὶ πόλεις ὅλας καὶ οἰκίας ἀνέτρεψεν.

Cf. cap. XXXVIII (πιθανολογίας] ἐπαγωγὰς καὶ πιθανολογίας) et XXXIX χείλη δὲ κατήγορα καὶ συκοφαντίας ἀποστρέφου· πολλάκις γὰρ παῖδας κατὰ πατέρων καὶ πατέρας ἐξέμηνε κατὰ παίδων καὶ βίον ἔσχισε συζυγίας καὶ συγγενεῖς ἐπανέστησε κατ' ἀλλήλων· καὶ τί λέγω; πόλεις ὅλας καὶ οἰκίας ἀνέτρεψε μία φωνὴ συκοφάντου.

68) Γλώσσης φυλάσσου παρολισθήματα· πολλάκις γὰρ μικρόν τι ῥῆμα διὰ ταύτης προαχθὲν μεγάλην ἤνεγκε ζημίαν τῷ εἰπόντι.

Cf. cap. XXXVII (post n. 65) δι' ὅλου δὲ γλώσσης φυλάσσου παρολισθῆσαι· Ῥήματι γὰρ βραχυτάτῳ πολλάκις ὑποσφαλεῖσα μεγάλην ἤνεγκε ζημίαν, αὐτοὺς τοὺς περὶ τοῦ ζῆν ἐσχάτους ἀναρρίψασα κύβους.

69) Μὴ ταχὺς ἧσθα ζευγνύειν φιλίαν, συζεύξας δὲ παντὶ τρόπῳ τὸν δεσμὸν ἄλυτον συντήρει τοῦ πλησίον τὸ βάρος ἅπαν αὐτὸς βαστάζων, πλὴν εἰ μήπω ἡ τοιαύτη φιλία καὶ σύζευξις κίνδυνον φέρει ψυχῆς καὶ ἀπὸ Θεοῦ ἀφίστησι. Κτῶ τοίνυν φίλους μὴ τοὺς φαύλους, ἀλλὰ τοὺς ἀρίστους· ἐκ γὰρ τῶν φιλουμένων ὡς τὰ πολλὰ τὰ ἤθη τῶν φιλούντων κρίνεται.

Cf. cap. XL μὴ ταχὺς ἧσθα ζευγνύειν (εἰς perperam adicitur) φιλίαν, συζεύξας δὲ παντὶ τρόπῳ τὸν δεσμὸν ἄλυτον συντήρει, ἅπαν τοῦ πλησίον ἀνέχων τὸ βάρος, πλὴν εἰ μήπω ψυχῆς κίνδυνον ἐπάγει· αἱ γὰρ πρὸς τοὺς φίλους διαστάσεις τὴν ὅλην προαίρεσιν ἐκφαυλίζουσι τῶν ἀνθρώπων, καὶ οὐ τὸν ὑπαίτιον μόνον, ἀλλὰ καὶ τὸν ἀναίτιον εἰς τὴν αὐτὴν ὑπόνοιαν κατασπῶσιν. Ἐκείνοις δὲ κέχρησο φίλοις, οἳ πρὸς

ἑτέρους κατὰ πάντα καιρὸν ἄδολον διεσώσαντο τὴν φιλίαν, καὶ μήτε εὐπραγοῦσι βασκανίας ἐπέβαλον ὀφθαλμὸν μήτε ἠμέλησαν δυςπραγούντων· πολλοὶ γὰρ κακῶς μὲν πράττουσιν ἐπεκούρησάν τε καὶ συνήργησαν τοῖς φίλοις, εὖ δὲ φερομένων ὁρᾶν οὐκ ἤνεγκαν τὴν εὐημερίαν· καὶ οὓς οὐκ ἤλεγξε καιρὸς συμπαθείας, τούτους ἐφώρασε τὸ πάθος τοῦ φθόνου. Κτῶ τοίνυν φίλους μὴ τοὺς φαύλους, ἀλλὰ τοὺς ἀρίστους· ἐκ γὰρ τῶν φιλουμένων ὡς τὰ πολλὰ κρίνεται τὰ ἤθη τῶν φίλων (l. φιλούντων), καὶ διὰ μὲν τῶν σπουδαίων ῥᾷστον ἄν τις καὶ παρασφαλεὶς ἐπαναχθείη, οἱ φαῦλοι δὲ καὶ τὴν προσιοῦσαν λυμαίνονται καλοκαγαθίαν· καὶ οἱ μὲν καὶ τὸ λεῖπον εἰς ἀρετὴν δι' ἑαυτῶν ἐπιτειχίζοντες ἀνελλιπὲς φαίνεσθαι ποιοῦσιν, ἡ δὲ πρὸς τοὺς φαύλους ἐπιμιξία καί, ὅπερ ἐστὶν ὑπόλοιπον ἀρετῆς, νόθον ἀποφαίνει.

70) Μὴ ζήτει παρὰ φίλων ἀκούειν τὰ ἡδέα, ἀλλὰ τὰ ἀληθῆ μᾶλλον καὶ δίκαια, κἂν τυγχάνῃ ταῦτα δάκνοντα καὶ λυποῦντα· εἰ γὰρ ἐχθροῖς μὲν οὐδὲ ἀληθεύουσι πιστεύομεν, ἀποδεχόμεθα δὲ καὶ τοὺς φίλους διαφθείροντας τὴν ἀλήθειαν, οὐδαμόθεν ἡ ταύτης ἡμῖν γνῶσις γενήσεται καὶ ἡ τῶν κακῶς παρ' ἡμῶν λεγομένων ἢ πραττομένων ἐπιστροφή. Διὸ μέγιστον ἡγοῦ φίλους κολάκων διαφέρειν· οἱ μὲν γὰρ κόλακες κατὰ πρόσωπον ἐπαινοῦντες τῶν ἁμαρτανομένων λαβεῖν συναίσθησιν οὐκ ἐῶσιν, οἱ δὲ μετὰ φιλίας ἐλέγχοντες καὶ σὲ τὸ παρανομηθὲν συνιδεῖν δυναμοῦσι καὶ πρὸς τοὺς ἄλλους ἀπολογίαν ἀντὶ κατηγορίας ἐκμηχανῶνται.

Cf. cap. XL (post n. 69) μὴ ζήτει δὲ παρὰ φίλων ἀκούειν τὰ ἡδέα, ἀλλὰ τὰ ἀληθῆ μᾶλλον· εἰ γὰρ ἐχθροῖς μὲν οὐδ' ἀληθεύουσι πιστευτέον, φίλοις δὲ διέφθορε τὰ τῆς ἀληθείας καὶ τὸ ἡδὺ λέγειν ζητοῦσι κἀκεῖνοι, πόθεν (adde: ἂν) ἡμῖν ἀλλαχόθεν ἡ τῆς ἀληθείας ἔσοιτο γνῶσις καὶ ἡ ἐπιστροφὴ τῶν οὐκ εὐαγῶς ἐνίοτε παρ' ἡμῶν λεγομένων ἢ πραττομένων; Διὸ μέγιστον ἡγοῦ φίλους κολάκων διαφέρειν· οἱ μὲν γὰρ κατὰ πρόσωπον ἐπαινοῦντες σέ τε τῶν, ὡς εἰκός, ἁμαρτανομένων συναίσθησιν λαβεῖν οὐκ ἐῶσι καὶ μείζω ταῦτα πρὸς τοὺς ἄλλους ταῖς διαβολαῖς ἀποτελοῦσιν, οἱ δὲ καὶ σὲ τῷ διὰ φιλίας ἐλέγχῳ συνιδεῖν τὸ παρανομηθὲν μᾶλλον δυναμοῦσι, κἄν τι δέῃ πρὸς τοὺς ἔξω λέγειν, ἀντὶ κατηγορίας ἀπολογίαν τοῦ πραχθέντος ἐκμηχανῶνται. Ὅσον οὖν τοῦ ἐπὶ κακίαν προκόπτειν τὸ ἀρετὴν ἀσκεῖν διενήνοχε καὶ τοῦ διαβάλλεσθαι ἐν τοῖς ἀρχομένοις τὸ τὰς διαβολὰς διαλύειν, τοσοῦτον δεῖ παρὰ σοὶ τοὺς εὔνους πλέον ἔχειν τῶν κολάκων.

71) Τῶν ἀπορρήτων ἃ μὲν τὴν σὴν ἀρετὴν αὐξάνει, κοινώνει τοῖς φίλοις, ἃ δὲ τὴν γνώμην φαυλίζει, μήτε αὐτὸς μετέρχου μήτε τοῖς φίλοις ἀνατίθει.

= cap. XLI, ubi in fine haec adduntur: ἄριστον μὲν γὰρ τοῦτο καὶ χωρὶς αἰτίας ἑτέρας. Πλήν γε δὴ καὶ εἰς κόρον, οἷα πολλὰ τὰ ἀνθρώπινα, τοῦ φίλτρου τραπέντος μᾶλλον τῆς παραινέσεως τὸ χρήσιμον καθοράται· τὸ μὲν γὰρ φαῦλον τῶν κρυφίων, τότε μάλιστα

τοὺς λογισμοὺς τοῦ συνεγνωκότος ὑποτρέχον καὶ διακυμαῖνον, θᾶττόν τε καὶ σὺν οὐδενὶ ὄκνῳ τῆς ἀγάπης ἀποστήσει καὶ πρὸς ἐπιστροφὴν ἰδεῖν οὐκ ἐάσει, σοί τε διαβολὴν βαρεῖαν, ἔκφορον γεγονός, ἐποίσει καὶ πρὸς τὸν ἐξειπόντα χαλεπώτερον διαθήσει· τὸ δὲ χρηστὸν τόν τε συνεγνωκότα ῥαγῆναι τῆς φιλίας ἐπικατασχέσει (l. ἐπικατασχήσει) δεσμῷ κρατίστῳ, τῇ ἀρετῇ, βιαζόμενον καὶ εἰς ἔπαινον τῆς σῆς σπουδαίας γνώμης ἐπὶ νοῦν ἐρχόμενον διαναστήσει, καὶ σὲ δηλονότι ταῦτα συνορῶντα οὐκ ἀηδῶς ἀναλαβεῖν, εἴ τι παρῃνέθης, τήν τε πρὸς αὐτὸν ὁμιλίαν καὶ τὴν ἐν τῷ πόθῳ σχέσιν ἀναπείσει.

72) Ἀεὶ μὲν φίλους εὐλόγει, μάλιστα δὲ τοὺς ἀπόντας ἐπὶ τῶν παρόντων· οὕτω γὰρ καὶ κολακεύειν οὐ δόξεις καὶ τοῖς φίλοις ἔσῃ πράττων κεχαρισμένα.

Cf. cap. XLI (post verba ad n. 71 citata) ἀεὶ μὲν οὖν φίλους εὐλόγει, μάλιστα δὲ τοὺς ἀπόντας ἐπὶ τῶν παρόντων· οὕτω γε γὰρ καὶ τὸ τῆς κολακείας διαφύγοις, οὐδ' ἴχνος αὐτῆς ἐν σοὶ φαίνεσθαι παρασκευάζων, καὶ τοῖς φίλοις ἔσῃ πράττων κεχαρισμένα, τοιοῦτον σεαυτὸν εἶναι τοῖς παροῦσι πιστώσας, οἷος αὐτοῖς περὶ τῶν ἀπόντων ἐγνώσθης.

73) Ἔσο τοῖς μὲν εἰς ἑτέρους ἀδίκως πλημμελοῦσιν ἀπαραίτητος, τοῖς δὲ εἰς σὲ ἁμαρτάνουσι συμπαθέστατος· διὰ μὲν γὰρ ἐκείνου εὐνομίας καὶ κηδεμονίας δόξαν ἕξεις, διὰ δὲ τούτου τὸ φιλάνθρωπον τῆς γνώμης καὶ συμπαθὲς τοῦ τρόπου δηλώσεις.

Cf. cap. XLII οὕτω δὲ σεαυτὸν φιλίᾳ περιφράξας, ἔσῃ τοῖς μὲν εἰς ἑτέρους καὶ εἰς τὰ κοινὰ πλημμελοῦσιν ἀπαραίτητος, τοῖς δὲ εἰς σὲ ἁμαρτάνουσι συμπαθέστατος· διὰ μὲν γὰρ ἐκείνου εὐνομία ἔσται τῇ πολιτείᾳ καὶ ἡ σὴ περὶ τοὺς ἀρχομένους ἐπίδηλος σπουδὴ καὶ κηδεμονία· διὰ δὲ τούτου τὸ φιλάνθρωπον τῆς γνώμης καὶ ὁ βασίλειος ὡς ἀληθῶς ἀνακηρύττεται τρόπος. Οἱ μὲν γὰρ τύραννοι τὰ κοινὰ τῶν ἀδικημάτων καὶ τὰ εἰς ἀλλήλους πολλάκις ὑπερορῶσι, πικρῶς δὲ τὰ εἰς ἑαυτοὺς ἐξετάζουσι, βασιλέως δέ ἐστι καὶ ἀρχῆς ἐννομωτάτης ἔργον τὰ μὲν εἰς ἑαυτὸν φιλανθρώπως φέρειν, τὰ δὲ εἰς κοινὰ καὶ εἰς ἀλλήλους δικαίως εὐθετεῖν καὶ διεξάγειν.

74) Ὥσπερ πολλῶν ἐπαίνων ἄξιος ὁ ἐξουσίαν λαβὼν τοῦ ἀδικεῖν καὶ τὰ δίκαια πράσσων, οὕτω πολλῶν ὑπεύθυνος ψόγων ὁ μηδενὸς τῶν ἀναγκαίων ἐνδεὴς ὢν καὶ εἰς τὰ ἀλλότρια τὰς χεῖρας ἐκτείνων· τῷ μὲν γὰρ πενομένῳ πρόφασις, εἰ καὶ παράλογος, ἡ πενία τοῦ ἀδικεῖν, ὁ δὲ δυναστείαν ἔχων καὶ ἀπορίαν οὐκ ἔχων ἀναπολόγητον ἕξει τὴν ἀπὸ τοῦ ἀδικεῖν ἁμαρτίαν.

= cap. XLIII: ὁ ἐξουσίαν λαβὼν τοῦ ἀδικεῖν] ὁ μεγάλην ἐξουσίαν τοῦ ἀδικεῖν λαβὼν ‖ πράσσων] πράττων ‖ τῶν ἀναγκαίων ἐνδεὴς ὢν] ἐνδεὴς τῶν ἀναγκαίων ‖ τῷ μὲν γὰρ πενομένῳ] ἀνδρὶ μὲν γὰρ πενομένῳ ‖ ἡ πενία τοῦ ἀδικεῖν] τοῦ ἀδικεῖν ἡ πενία ‖ ὁ δὲ] ἀνὴρ δὲ ‖ ἕξει] ἔχει.

75) Ὅσῳ τις πρωτεύει τῇ ἀξίᾳ, τοσούτῳ χρεωστεῖ πρωτεύειν καὶ τῇ ἀρετῇ· ὁ δὲ τὸ ἐναντίον ποιῶν καὶ κακὸς μᾶλλον φαινόμενος τρία κακὰ ἐπιτελεῖ· ἀπόλλυσιν ἑαυτόν, εἰς κακίαν τοὺς ὁρῶντας παρακαλεῖ καὶ βλασφημεῖσθαι παρασκευάζει τὸν Θεόν, ὅτι τοιούτῳ ὄντι μεγάλην ἐνεχείρισεν ἀρχήν.

= cap. XLIV: ὅσῳ] ὅσῳ δέ ‖ πρωτεύει] προέχει ‖ ἀξίᾳ] ἀρχῇ ‖ τὸ ἐναντίον] τοὐναντίον ‖ καὶ κακὸς μᾶλλον φαινόμενος om. ‖ τρία κακὰ] τρία ἅμα καὶ κάκιστα ‖ εἰς κακίαν τοὺς ὁρῶντας] τοὺς ὁρῶντας εἰς κακίαν ‖ καὶ om. ‖ ὄντι om. ‖ μεγάλην] τηλικαύτην. — In fine habes: διὰ τοῦτο παντὶ μὲν ἀνθρώπῳ φευκτέον ἡ κακία, μάλιστα δὲ τοῖς ἐν ἀρχῇ.

76) Ὀργίλων μᾶλλον ἀνθρώπων ἢ φρονίμων αἱ κολάσεις, οἵτινες ἀπορροῦντες τοῦ φιλανθρώπως παιδαγωγεῖν καὶ σωφρόνως ἐπὶ τὸ κολάζειν τρέπονται καὶ μαστίζειν.

Cf. cap. XLVII δεῖ δὲ ἐγκρατῶς ἄρχειν οὐ τῷ κολάζειν, ἀλλὰ τῷ δοκεῖν κολαστικὸν εἶναι· τοῦτο δὲ ἦθος εὐσταθὲς ποιεῖ καὶ ἡ τῶν οἰκείων τρόπων σεμνότης καὶ ἐπιμέλεια. Ὀργίλων δὲ μᾶλλον ἀνθρώπων ἢ φρονίμων αἱ κολάσεις, οἵτινες ἀπορίᾳ τοῦ δημαγωγεῖν σωφρόνως ἐπὶ τὸ κολάζειν τρέπονται ῥᾳδίως. Καὶ τὸ μὲν καὶ ὁ τυραννικώτατος πράξειεν ἄν, τὸ δὲ μόνος ὁ ἀρχικώτατος· εἴπερ ἄρχοντος ἀρετὴ μὴ φθείρειν, ἀλλὰ πλείους καὶ βελτίονας ποιεῖν τοὺς ἀρχομένους.

77) Ὥςπερ τεῖχος σαθρόν, κἂν οἰκίας ἔνδον ἔχῃ λαμπρὰς καὶ ἀέρων εὐκρασίαν καὶ ὠνίων ἀφθονίαν, ὅμως τὴν πόλιν ἐξευτελίζει, οὕτως οἱ περὶ τοὺς ἐν δυναστείᾳ φαῦλοι καὶ τὸν ἐκείνων συνδιαβάλλουσι τρόπον.

= cap. XLIX: ὠνίων] ὠνείων (librarii errore) ‖ οἱ — τρόπον] οἱ περὶ τὸν ἄρχοντα φαῦλοι καὶ τὸν ἐκείνου συνδιαβάλλουσι τρόπον· οἱ γὰρ ἐκείνων τῆς πονηρίας λαμβάνοντες πεῖραν καὶ τὸν ὑπ' αὐτῶν δορυφορούμενον παραπλήσιον ὑπολαμβάνουσιν εἶναι.

78) Πάσης πράξεως προηγείσθω σοι βουλή· αἱ γὰρ ἀνεπίσκεπτοι πράξεις ὡς ἐπὶ τὸ πλεῖστον σφαλεραί.

= cap. LII: προηγείσθω σοι βουλὴ] βουλὴ προηγείσθω ‖ ἐπὶ τὸ πλεῖστον] τὰ πολλά. Subiunguntur haec: καὶ τὸ κατορθούμενον δικαίως ἂν αἰτίας ἄλλης ἔργον νομισθείη μᾶλλον ἢ τῆς τοῦ πολλάκις παρασφαλέντος ὁρμῆς καὶ περιπετείας.

79) Ὁ φθόνος πάσης μὲν ψυχῆς μεγάλη νόσος, μάλιστα δὲ τοῖς ἐν ἐξουσίᾳ· ἀνάγκη γάρ, οἷς συνεργοῖς μέλλει χρῆσθαι καὶ βίου καὶ διοικήσεων, τούτους ὁρᾶν ὡς ἐχθροὺς διὰ τὴν ἐνοῦσαν ἀρετὴν ἢ ἐπιβουλεύειν ὡς πολεμίοις· οὗ τί γένοιτο ἂν ὀλεθριώτερον; Ὅσον δὲ δεῖ φυγεῖν τὸ φθονεῖν, τοσούτῳ μᾶλλον ἀγαπᾶν τὸ φθονεῖσθαι· φθονεῖται γὰρ τὰ καλά, μισεῖται δὲ τὰ κακά.

= cap. LV et LVI: πάσης μὲν ψυχῆς] πάσῃ μὲν ψυχῇ ‖ μάλιστα δὲ] μεγίστη δὲ μάλιστα ‖ διοικήσεων] πόλεως πρὸς εὐδαιμονίαν ‖ ἢ] καὶ ‖ τί γένοιτο ἂν ὀλεθριώτερον] τί ἂν εἴη ὀλεθριώτερον ἢ ἀφρονέ-

στερον (fin. cap. LV) ‖ τοσούτῳ μᾶλλον ἀγαπᾶν] τοσοῦτον διώκειν ‖ φθονεῖται — τὰ κακὰ om., ipsa autem sententia fusius explicatur: ἄρχοντι δὲ μάλιστα πρέπει, ᾧ μηδ' ἐξ ἑτοίμου ἡ ἀπὸ τῶν φθονούντων φέρεται βλάβη. Εἰ δεῖ δὲ ὅμως τὸν φθόνον περιστέλλειν (πολυμήχανον γὰρ καὶ πάντολμον τὸ θηρίον), οὐκ ἀρετῆς ἐλαττώσει, μετριότητι δὲ φρονήσεως καὶ ἀφαιρέσει καὶ περικοπῇ τῆς ἐν τοῖς οὐκ ἀναγκαίοις ἐπιδείξεως καὶ πλεονεξίας τὰς αὐτοῦ βολίδας διακρουστέον.

80) Ἄριστον νόμιζε δικαστὴν τὸν ὀξύτητι μὲν διανοίας ταχὺ τὸ δίκαιον ἐφευρίσκοντα, σὺν ὀρθότητι δὲ προάγοντα, καὶ βοηθοῦντα μὲν τοῖς ἀδικουμένοις, βραδύνοντα δὲ πρὸς κολάσεις τῶν ἁμαρτανόντων, καὶ κρείττονα μὲν χρυσίου, κρείττονα δὲ ὀργῆς, καὶ μηδενὶ συμπαθοῦντα ἀνόμως, ἀλλὰ νομίμως τὰς κρίσεις ἐξάγοντα, καὶ φιλίαν μὲν εἰδότα τὴν δικαιοσύνην, ἔχθραν δὲ τὴν ἀδικίαν.

Cf. cap. LVIII ἄριστον νόμιζε δικαστήν, ὃς τάχει μὲν λογισμῶν τὴν τοῦ δικαίου φύσιν θηρεύει, θηρεύσας δὲ σὺν ὀρθότητι προάγει, καὶ πρᾶξαι μὲν ἄνεσιν τοῖς ἀδικουμένοις ὀξύς, βραδὺς δὲ κολάσαι τοὺς ἁμαρτάνοντας, καὶ κρείττων μὲν χρυσίου, οὐκ ἐλάττων δὲ δυναστείας, καὶ κρατῶν μὲν ὀργῆς, οὐχ ἡττώμενος δὲ συμπαθείᾳ, καὶ μόνην μὲν συγγένειαν καὶ φιλίαν καὶ δόξαν οἶδε τὴν δικαιοσύνην, μόνην δὲ ἀλλοτρίωσιν καὶ ἔχθραν καὶ ἀδοξίαν τὴν ἀδικίαν.

81) Τότε κριτὴς ἄριστος ἔσῃ τῶν ἄλλων, ὅτε τὰ οἰκεῖα ἐπισκοπῶν λόγον ἑκάστης πράξεως τῷ συνειδότι καθάπερ κριτῇ δίδως καὶ διόρθωσιν τῶν ἡμαρτημένων ἐπινοεῖς, ἐπεὶ πῶς τοὺς ἄλλους ἐπιτιμῶν οὐκ ἐρυθριάσεις, ἐφ' οἷς αὐτὸς ὅμοια ἐξαμαρτάνεις καὶ, ἐν οἷς αὐτὸν ἀνεύθυνον περιορᾷς, ἐκείνους εὐθύνων;

= cap. LXIII: τὰ οἰκεῖα] τὰ σαυτοῦ (τὰς αὐτοῦ libri) ‖ τῷ συνειδότι καθάπερ κριτῇ] ὑπὸ συνειδότι κριτῇ ‖ τῶν ἡμαρτημένων ἐπινοεῖς] ἐπινοεῖς τῶν ἡμαρτημένων ‖ ὅμοια] τὰ ὅμοια ‖ καὶ — εὐθύνων] πῶς δὲ ἐκείνους οἴει σοι διατεθῆναι, ἡνίκα, ἐν οἷς ὑπεύθυνον (l. ἀνεύθυνον) σὲ καθορῶσιν, αὐτοὶ δίκας εἰσπράττεσθαι δικαιοῦνται.

82) Ἐπαίνει τὰς ἀρίστας πράξεις μὴ λέγων μόνον, ἀλλὰ καὶ πράττων· τὸ μὲν γὰρ τῶν τυχόντων, τὸ δὲ τῶν ἀρίστων.

Cf. cap. LXIV ἐπαίνει τὰς ἀρίστους (l. ἀρίστας) πράξεις· ἐπαίνει δὲ μὴ λόγῳ μόνον, ἀλλὰ δι' ὧν αὐτός τε μάλιστα τὰ ὅμοια πράττοις καὶ δι' ὧν τοὺς μιμητὰς τῶν λοιπῶν προκρίνων ἐντίμους ἀποδεικνύοις· τὸ μὲν γὰρ καὶ τῶν τυχόντων, τὸ δὲ τῶν ἄρχειν ἀξίων.

83) Χαλεπὸν μὲν ἀγάπῃ φόβον κεράσαι, τῆς τελείας ἀγάπης ἔξω βαλούσης τὸν φόβον· σὺ δὲ τοὺς μὲν ἀρίστους φιλεῖν παρασκεύασαι· οὐδὲν γὰρ δεῖ φόβου ἐπὶ τοῖς τοιούτοις· τοῖς δὲ ἄλλοις φοβερὸς φαίνου, χωρὶς δὲ μίσους, ἵνα τῶν φαύλων ἀπέχωνται· ἀγαπήσουσι γὰρ καὶ οὗτοι, ἂν μὴ μετ' ὀργῆς ὁρῶσι κολάζοντα, ἀλλ' ὡς πατέρα παιδεύοντα καὶ ἐν μὲν τοῖς πταίσμασιν οὐχ ἡδέως τιμωρούμενον, ἐν δὲ ταῖς συμφοραῖς καὶ τοῖς δυστυχήμασιν ἀπροφασίστως βοηθεῖν προθυμούμενον.

= cap. LXIX: ἀγάπῃ φόβον] φόβον ἀγάπῃ ‖ τῆς τελείας ἀγάπης ἔξω βαλούσης τὸν φόβον] οἱ γὰρ φιλοῦντες ὡς ἐπίπαν τὸ δέος οὐκ ἔχουσι, καὶ οἱ δεδιότες φιλεῖν οὐκ ἐθέλουσι ‖ σὺ δὲ] σὺ δὲ δίελε καὶ ‖ παρασκεύασαι] παρασκεύασον (cum M) ‖ φόβου] δέους ‖ τοῖς δὲ ἄλλοις φοβερὸς φαίνου] τοὺς δ' ἄλλους ἀνάγκη φοβεῖν ‖ χωρὶς δὲ μίσους om. ‖ ἀγαπήσουσι γὰρ καὶ οὗτοι] φοβήσονται δὲ χωρὶς μίσους ‖ πταίσμασιν] ἁμαρτήμασιν ‖ βοηθεῖν] ἐπικουρεῖν.

84) Οἱ χρώμενοι τοῖς ἐκ φύσεως πλεονεκτήμασιν εἰς πονηρίας ὑπηρεσίαν, ἀλλὰ μὴ πρὸς τὴν τῶν πλησίον εὐεργεσίαν, οὗτοι καὶ τὴν φύσιν φαυλίζουσι καὶ τῷ Δημιουργῷ τὴν περὶ αὐτοὺς φιλοτιμίαν εἰς ὕβριν καὶ ἀχαριστίαν περιτρέπουσιν.

= cap. LXX.

85) Προπετὴς ὅρκος πρόχειρος ἐπιορκία· ἄλλως τε καὶ τὸ ὀμνύειν οὐκ εὖ βεβηκότος ἤθους ἐστὶν οὐδὲ γενναίου φρονήματος· ὁ δὲ εὐσταθὴς καὶ μεγαλόψυχος ἀνὴρ διὰ τῶν τρόπων καὶ τοὺς λόγους πιστοῦται, οὐχὶ διὰ τῶν ὅρκων τοὺς λόγους.

Cf. cap. LXXII προπετὴς ὅρκος πρόχειρος ἐπιορκία· ἄλλως τε δὲ καὶ τὸ ὀμνύειν ὅλως ἤθους οὐκ εὖ βεβηκότος οὐδὲ φρονήματος εὐγενοῦς· ὁ δὲ εὐσταθὴς καὶ μεγαλόψυχος ἀνὴρ αἰσχυνθήσεται τοὺς λόγους ὅρκῳ πιστοὺς ἀποφαίνειν καὶ τὴν διὰ τῶν οἰκείων τρόπων πίστιν ἀτιμάζειν. Λίαν ἄρα συμφερόντως καὶ κηδεμονικῶς καὶ ὁ Δεσποτικὸς νόμος τὸν ὅρκον κωλύει.

86) Ἃ μὲν εὖ πάθοις, ἀεὶ μέμνησο· ἃ δὲ εὖ ποιήσαις, τάχιον ἐπιλανθάνου· τὸ μὲν γὰρ χρηστότητος καὶ εὐγνωμοσύνης, τὸ δὲ καθαρᾶς μεγαλοψυχίας καὶ καθαρὰν φυλάττει τὴν εὐεργεσίαν.

= cap. LXXIII: ἃ δὲ] ὧν δ' ἂν (l. ὧν δὲ) ‖ τάχιον] θᾶττον.

87) Εὐεργεσίας καὶ συμφορὰς ὀνειδίζειν τῆς αὐτῆς εἶναι νόμιζε κουφότητος καὶ ἀπανθρωπίας.

= cap. LXXIV.

88) Ἀπάτη πανταχοῦ μὲν ἀσθενείας ὁμολογία· ἀλλ' εἰ μὲν ἐν φίλοις, κακὸν ἔσχατον καὶ ὑπερβαλλούσης μοχθηρίας· εἰ δὲ πρὸς ἐχθροὺς καὶ πολεμίους στρατηγικόν· ὅμως κἀκεῖ κοινολογίας γενομένης οὐκ ἀριστείας οὐδὲ ἀνδραγαθίας τὸν πιστεύσαντα ἐξαπατῆσαι, καὶ εἰ ἐχθρός ἐστιν.

Cf. cap. LXXV ἀπάτη μὲν πανταχοῦ ἀσθενείας ὁμολογία· ἀλλ' εἰ μὲν ἐν φίλοις, κακόν τε ἔσχατον καὶ ὑπερβαλλούσης μοχθηρίας· εἰ δὲ πρὸς ἐχθροὺς καὶ πολεμίους, μηδὲν μὲν προειδότας, οὐ πόρρω στρατηγίας· κοινολογίας δὲ γενομένης, καὶ ταύτην οὐκ ἀθετοῦντας, πόρρω ἀριστείας καὶ ἀνδραγαθίας. Διὸ μηδὲ τοὺς πιστεύοντάς σοι πολεμίους ἀπάτῃ μετέρχου· εἰ γὰρ καὶ πολέμιοι, ἀλλ' ὅμως οὐδὲν ἔλαττον ἀπατεῶν καὶ πλάνος ὁ τοὺς πεπιστευκότας ἐξαπατήσας.

89) Ἐχθροὺς ὁμοφύλους μὴ ἀμύνασθαι θεῖος νόμος ἐστὶ καὶ φιλάνθρωπος, ἔνεστι δὲ καὶ χρήσιμον ἐν αὐτοῖς τοῖς πράγμασι γνωριζόμενον· ὁ μὲν γὰρ

ἀμυνόμενος ἔχει πάλιν τοῦτον χαλεπώτερον ἐχθρόν, ὁ δὲ εὐεργετῶν ἢ φίλον παρεσκεύασεν ἀντὶ ἐχθροῦ ἢ πάντως πραότερον ἐχθρόν.

= cap. LXXIX: θεῖος — φιλάνθρωπος] ἐστὶ μὲν θεῖος καὶ φιλάνθρωπος νόμος ‖ ἔνεστι] ἐστὶ ‖ χρήσιμον] πολὺ τὸ χρήσιμον ‖ πράγμασι] πράγμασιν ‖ γνωριζόμενον] παρέχων ‖ τοῦτον om.

90) Μηδὲν ὧν ἄλλοις ἐπηγγείλω φαίνου παραβαίνων· ἡ γὰρ ψευδολογία τὸν ὅλον τρόπον ἄπιστον δεικνύει καὶ τοῖς διαψευσθεῖσιν οὐκ ἔστιν αἰσχύνη τοῖς ὁμοίοις ἀμείβεσθαι Παντὶ μὲν οὖν ἀνθρώπῳ φευκτέον τὸ ψεῦδος, μάλιστα δὲ τοῖς ἐν δυναστείαις· τοῖς μὲν γὰρ ἀπόροις ἔστιν ὅτε γίνεται ἀπολογία ἡ ἀδυναμία, τοῖς δὲ πλουσίοις οὐδεμία καταφυγὴ τοῦ μοχθηρὰν ἐξελεγχθῆναι τὴν γνώμην.

= cap. LXXX: ἐπηγγείλω] ἔγνως ἐπαγγέλλειν ‖ ψευδολογία] ἔν τισι ψευδολογία ‖ τοῖς ὁμοίοις ἀμείβεσθαι] μὴ ἀμείβεσθαι τοῖς ὁμοίοις ‖ φευκτέον] διὰ τοῦτο φευκτέον ‖ δυναστείαις] δυναστείᾳ ‖ ἀπόροις] ἄλλοις ‖ ἔστιν ὅτε] ἔσθ' ὅτε ‖ τοῖς δὲ πλουσίοις] τοῖς δὲ ‖ οὐδεμία — τὴν γνώμην] οὐκ ἔστι καταφυγὴ μὴ οὐχὶ παντὶ τρόπῳ μοχθηροὺς (μοχθηρὰς?) τὰς γνώμας ἐλεγχθῆναι.

91) Εὐλαβοῦ τὰς μετὰ σφοδρότητος ὑποσχέσεις· ἡ γὰρ παρασχὼν τὴν πλείστην χάριν προαφεῖλες τῇ σφοδρότητι τῆς ἐπαγγελίας ταύτην προκαταμερίσας ἢ μὴ παρασχὼν διπλῆν ἀπηνέγκω αἰσχύνην, ὅτι τε σφοδρῶς ὑπέσχου καὶ ὅτι ὑποσχόμενος οὐκ ἔδωκας.

Cf. cap. LXXXI τὰς μετὰ σφοδρότητος ὑποσχέσεις εὐλαβεῖσθαι χρή· εἴτε γὰρ παράσχοις, τὴν πλείστην προαφεῖλες χάριν τῇ σφοδρότητι τῆς ἐπαγγελίας ταύτην προκαταμερίσας καὶ εἰς δύο τὴν μίαν δωρεὰν κατασμικρύνας· εἴτε μὴ παράσχοις, διπλῆν ἀπήνεγκας τὴν αἰσχύνην, ὅτι τε σφοδρῶς ὑπέσχου καὶ ὅτι μηδὲν ὧν ὑπέσχου παρέσχες, καὶ δυσμενὴς ὤφθης ἀντὶ φίλου· ἀφεῖλες γάρ, ὃ παρέσχον αἱ ἐλπίδες. Ἄλλως τε δὲ καὶ αἱ σφοδραὶ ὑποσχέσεις ἁρμόζουσι τοῖς οὐ λίαν πιστευομένοις, ἐλέγχουσι δὲ καὶ ὡς οὐ κηδεμονίας μᾶλλον ἢ χρείας ὑποτεινόμεναι χάριν.

92) Ὥςπερ ἀνάξιος χαρίτων ὁ ἀχαριστίᾳ γνώμης ἀμείβων τὸν εὐεργέτην, οὕτως ἄξιος τοῦ τῆς εὐεργεσίας ἀξιώματος ὁ χαριζόμενος, ἐφ' οἷς ἀπολαβεῖν οὐκ ἐλπίζει.

= cap. LXXXII: ὥςπερ ἀνάξιος] ὥςπερ δὲ ἀνάξιος. Nimirum praecedit sententia: ἄξιος χαρίτων ὁ εὐλαβούμενος αὐτῆς (l. αὐτῶν) καὶ τὴν φύσιν καὶ προςηγορίαν καὶ μὴ παυόμενος μελετᾶν, ἕως ἂν αὐτὴν (l. αὐτὰς) ἀνταποδώσῃ ‖ ἐφ' οἷς ἀπολαβεῖν οὐκ ἐλπίζει] ἐφ' ᾧ μὴ ἀντ-απολαβεῖν τὴν χάριν.

93) Μηδὲν παράνομον μηδὲ τοῖς φίλοις χαρίζου· ἂν μὲν γὰρ ὦσιν ἀγαθοί, μισήσουσί σε μᾶλλον παρανομοῦντα ἢ ἀγαπήσουσι χαριζόμενον· ἂν δὲ φαῦλοι, διπλῆν ζημίαν ὑπέμεινας κακοὺς εὐεργετῶν καὶ καλοῖς μισούμενος.

= cap. LXXXIII: τοῖς φίλοις] φίλοις ‖ ὧσιν ἀγαθοὶ] ἐπιεικεῖς ὦσι ‖ μισήσουσί σε] μισήσουσι ‖ ἀγαπήσουσι] φιλήσουσι ‖ καλοῖς μισούμενος] ἀγαθοῖς ἀπεχθανόμενος· καὶ χωρὶς δὲ τούτων τέρψει προσκαίρῳ καὶ ἰδιωτικῷ ἀίδιον ὄνειδος ἀλλάξασθαι καὶ κοινὸν μεγάλης ἀνοίας.

94) Αἱ χάριτες ταχὺ μὲν γινόμεναι γλυκύτεραι, εἰ δὲ ἀναβολαῖς καὶ παρατάσεσι χρόνων γηράσουσι, τὸ οἰκεῖον κάλλος καὶ τὴν γλυκύτητα ἀπώλεσαν· χάρις γὰρ βραδύνουσα κενὴ χαρίτων καθίσταται καὶ οὐδὲ χάρις καλεῖσθαι ἔτι φιλεῖ, ἀλλ᾽ οὐδὲ ἡμιτελὴς οὖσα χάρις ἐστίν· ὁ γὰρ ἡμίτομον τὴν χάριν ἀπειληφὼς οὐχ οὕτω τῷ ἡμίσει εὐφρανθήσεται, ὡς ὑπὲρ τοῦ ἐλλείποντος ἀνιάσεται.

Cf. cap. LXXXIV αἱ χάριτες ταῖς ἀναβολαῖς καὶ παρατάσεσι τοῦ χρόνου ὥσπερ εἰς γῆρας ἐλθοῦσαι τὸ οἰκεῖον μαραίνονται κάλλος· τὸ γὰρ ἄνθος ἀποβαλοῦσαι τῆς προθυμίας, μεθ᾽ ἧς ἀμήχανόν τινα καὶ λαμπρὰν ἐποιοῦντο τὴν τέρψιν, οὐ καθαρὰν φέρουσι τὴν εὐφροσύνην et cap. LXXXV αἱ χάριτες ἡμιτελεῖς οὖσαι οὐκ ἐθέλουσι χάριτες εἶναι· ἔσονται δέ, ἐπειδὰν τετελειωμέναι ὦσιν· ὁ δὲ ταύτας ἐξ ἡμισείας κατατιθεὶς ἑαυτὸν ἐζημίωσε καὶ τὸν λαβόντα οὐκ εὔφρανεν· ὁ γὰρ ἡμίτομον τὴν χάριν ἀπειληφὼς οὐχ οὕτω τῷ ἡμίσει εὐφρανθήσεται, ὡς ὑπὲρ τοῦ ἀφαιρέματος ἀνιάσεται.

95) Ὁ τὰς χάριτας, ἃς εἰς ἑτέρους ἐποίησε, προφέρων ἀεὶ καὶ ἐξονειδίζων ὅμοιός ἐστι γεωργῷ σπείροντι μὲν καλὸν σπόρον προθύμως, ἐπαφιέντι δὲ χοίρους καὶ θηρία τῷ σπόρῳ· ὡς γὰρ ἐκεῖ καὶ τὸ σπέρμα καὶ ὁ καρπὸς ἐλυμάνθη, οὕτω κἀνταῦθα καὶ ἡ χάρις ἀπώλετο καὶ ἡ ὑπὲρ ταύτης εὐχαριστία προσαπώλετο.

Cf. cap. LXXXVI ὁ τὰς χάριτας ὀνειδίζων ὅμοιός ἐστι τῷ γεωργῷ σπείροντι μὲν προθύμως, ἐπαφέντι (l. ἐπαφιέντι) δὲ χοίρους καὶ θηρία τῷ σπόρῳ· ὡς γὰρ ἐκεῖνος καὶ τὸ σπέρμα καὶ τὸν ἐξ αὐτοῦ λυμαίνεται καρπόν, οὕτω καὶ οὗτος καὶ τὰ καταβληθέντα καὶ τὴν βλαστάνουσαν αὐτῷ προσαπόλλυσιν εὐχαριστίαν.

96) Θυμὸς ἔκστασίς ἐστιν ἑκούσιος, (adde: καὶ) τῶν ἰδίων φρενῶν ἀλλοτρίωσις· ἃ γὰρ οἱ μελαγχολῶντες διαπαντὸς κατεργάζονται, ταῦτα καὶ οἱ θυμῷ πληγέντες διαπράττονται· καὶ ὥσπερ τὸ πῦρ τὴν τρέφουσαν ὕλην ἀφανίζει, οὕτω καὶ ὁ θυμὸς <τὴν ἔχουσαν ψυχὴν κατεσθίει, καὶ ἔστω σοι [1])> κατὰ μόνου τοῦ ὄφεως, δι᾽ ὃν τοῦ παραδείσου ἐξέπεσας. Μηδένα δὲ θυμῷ κολάσῃς, μηδὲ εἰ τύχοι δίκαιος ὢν ὁ θυμός· ἄριστος γὰρ ὁ εἰπὼν ὅτι ‘ἐμαστίγωσα ἄν σε, εἰ μὴ ἐθυμούμην.’

---

[1]) Editio princeps perperam inter κατὰ et μόνου lacunam significavit; supplementum τὴν ἔχουσαν ψυχὴν κατεσθίει cap. LXXXIX suppeditavit, καὶ ἔστω σοι ex gemello Gregorii Nazianzeni loco adsumpsi, Or. XLIV (in novam Dominicam) 7 (Patrol. Gr. vol. XXXVI p. 613 C) ὁ θυμὸς ἔστω σοι κατὰ μόνου τοῦ ὄφεως, δι᾽ ὃν ἐξέπεσας.

= LXXXVIII: Θυμὸς ἔκστασίς ἐστιν] Θυμός ἐστιν ἔκστασις ‖ τῶν] καὶ τῶν ‖ μελαγχολῶντες διαπαντὸς] διαπαντὸς μελαγχολῶντες ‖ ταῦτα] παραπλήσια τούτοις ‖ Θυμῷ] τῷ Θυμῷ ‖ διαπράττονται] κατ' ἐκεῖνο καιροῦ διαπράττονται, — cap. LXXXIX: καὶ ὥςπερ] ὥςπερ ‖ καὶ ἔστω — ἐξέπεσας] πολλάκις δὲ καὶ φθορὰν ὁλόκληρον εἰργάσατο τοῦ ζώου, — cap. XC: μηδένα — ἄν σε] μηδαμῶς μηδένα μηδὲ δικαίως θυμῷ κολάσῃς· ὡς γὰρ ἂν ὁ πάσχων τὴν δίκην ὑφέξῃ, αὐτὸς ὅμως οὐδὲν ἔλαττον ἐξελεγχθήσῃ σφαλερῶς τῇ πράξει κεχρημένος. Διὸ καὶ κάλλιστά τις τῶν ἀρχαίων ἀπεθέσπισε πρὸς ἡμαρτηκότα· 'ἐκόλασα ἄν σε.'

97) Ὥςπερ ταχὺν ἐν ταῖς τῶν ἀξιωμάτων (ἀξίων?) εὐεργεσίαις, οὕτω βραδὺν ἐν ταῖς τῶν αἰτίων τιμωρίαις εἶναι χρή, καὶ χαίρειν μὲν τιμῶντα <τοὺς σπουδαίους, ἀνιᾶσθαι δὲ κολάζοντα> τοὺς ὑπευθύνους.

= cap. XCII: τῶν ἀξιωμάτων] ἀξίων ‖ εἶναι χρὴ] εἶναι προςήκει (post εὐεργεσίαις).

98) Μηδενί ποτε πιστεύσαντί σοι ἄπιστος ὀφθῇς· ἂν γὰρ ἄπιστοι τοῖς πεπιστευκόσι γενώμεθα, τίνες τοῖς ἄλλοις δόξομεν;

= cap. XCIII: μηδενί ποτε] μηδενὶ μηδέποτε ‖ ὀφθῇς] ὀφθείης (male) ‖ τοῖς πεπιστευκόσι γενώμεθα] γενώμεθα τοῖς πεπιστευκόσι ‖ in fine habes: καὶ μετὰ τίνων δὲ λοιπὸν ἀδεῶς καὶ ἡδέως βιώσομεν;

99) Αἰσχρόν ἐστι τὸν ἀνδρῶν ἄρχοντα μὴ καὶ παθῶν ἄρχειν, ἀλλ' ἢ δοῦλον ὀφθῆναι ἢ γυναικῶν ἡττηθῆναι· ἢν δέ τις νομίμως βοηθὸν ἐκτήσατο βίου, ταύτῃ συνοικῶν οὐχ ἁμαρτάνει.

= cap. XCV: αἰσχρὸν — ἡττηθῆναι] αἰσχρόν ἐστιν ἀνδρῶν ἄρχοντα καὶ δεσπόζοντα γυναικῶν ἡττηθῆναι καὶ δοῦλον ἡδονῶν ὀφθῆναι ‖ νομίμως] νόμῳ.

100) Ἀγαμία μὲν θεῖον πρᾶγμα καὶ ὑπερφυές, μονογαμία δὲ φύσεως ἀνθρωπίνης ἔργον, εἴς τε γένους διαδοχὴν καὶ κοινωνίαν ἡμέρου καὶ φιλανθρώπου βίου, πολυγαμία δὲ ὑπέραισχρον καὶ μιαρὸν καὶ χοιρώδης βίος, ἀλλ' οὐκ ἀνθρώπινος.

= cap. XCV (post n. 99): ὑπερφυὲς] ὑπερφυὲς καὶ μεῖζον πολιτικῆς ἀρετῆς καὶ εὐνομίας ‖ κοινωνίαν] εἰς κοινωνίαν ‖ βίου] βίου καὶ πολιτείας εὐνομουμένης ‖ καὶ χοιρώδης βίος, ἀλλ' οὐκ ἀνθρώπινος] καὶ τῆς τῶν ἀλόγων ἀκολασίας καὶ ἀκαθαρσίας.

101) Ἀλέξανδρος ὁ Μακεδὼν τῶν Δαρείου γυναικῶν κρατήσας οὐδὲ ἰδεῖν ἠνέσχετο ταύτας τὸ μνημονευόμενον εἰπών, ὅτι δεινόν ἐστιν ἀνδρῶν κρατήσαντας ὑπὸ γυναικῶν ἡττηθῆναι, καὶ τὰς Περσίδας δὲ βολίδας ἔλεγεν ὀμμάτων εἶναι· ὁ δὲ σώφρων ὡς ἀληθῶς καὶ τῶν δεσποτικῶν ἐντολῶν φύλαξ πάσης γυναικὸς ἀλλοτρίας ὄψιν ὡς ὀξὺ ψυχῆς βέλος καὶ θανατηφόρον φεύξεται καὶ ἀποστραφῇ.

Cf. cap. XCVI Ἀλέξανδρος ὁ Μακεδὼν Ἀσίας κύριος δόρατι γεγονὼς τὰς Περσίδας ἔλεγεν βολίδας ὀμμάτων εἶναι· ὁ δὲ σώφρων ὡς ἀληθῶς ἀνὴρ καὶ δεσποτικῶν φύλαξ ἐντολῶν οὐ τὰς Περσίδας μόνον, ἀλλὰ καὶ πάσης γυναικὸς ὄψιν ὡς ὀξὺ ψυχῆς βέλος καὶ θανατηφόρον φεύξεται καὶ ἀποστραφεῖται (l. ἀποστραφῇ).

102) Ὥςπερ ἦχος φωνῆς πλήξας τὴν ἀκοὴν δι' αὐτῆς τὸ πάθος εἰςήνεγκεν ἐν τῇ ψυχῇ, οὕτω καὶ κάλλος σωμάτων ἑλκύσαν ὀφθαλμὸν δι' αὐτοῦ δέσμιον ἔλαβε καὶ κατεδουλώσατο τὸν αὐτοδέσποτον λογισμόν.

Cf. cap. XCVI (post n. 101) ἦχος μὲν φωνῆς ἔπληξεν ἀκοὴν καὶ δι' αὐτῆς ἐνετυπώθη τὸ πάθος τῇ ψυχῇ, κάλλος δὲ σωμάτων εἵλκυσεν ὀφθαλμὸν καὶ δι' αὐτοῦ δέσμιον λαβὼν (l. λαβόν) κατεδουλώσατο τὸν αὐτοδέσποτον λογισμόν.

103) Ὥςπερ ἀμήχανον ἐν θαλάσσῃ πλέοντα καὶ ζάλης ἀμέτοχον διαβῆναι, οὕτως ἀδύνατον τὸν ἐπισκοποῦντα καὶ περιεργαζόμενον κάλλη σωμάτων τῶν ἐκεῖθεν κυμάτων ἐκτὸς καθεστάναι. Διὸ τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἐκτρέπεσθαι δεῖ τῶν παθῶν· ἐπειδὰν γὰρ τοῖς λογισμοῖς τὸ κακὸν ἐνσκήψῃ, δυσαπόβλητον γίνεται τὸ πάθος καὶ χαλεπὸν ἀπαλλαγῆναι.

= cap. XCVII: ἀμήχανον] ἀδύνατον ‖ καὶ ζάλης ἀμέτοχον διαβῆναι] ταραχῆς καὶ ζάλης ἀπείρατον διαμεῖναι ‖ ἀδύνατον — σωμάτων] ἀμήχανον τὸν κάλλη σωμάτων ἐπισκοποῦντα καὶ περιεργαζόμενον ‖ κυμάτων] κυμάτων καὶ κινδύνων ‖ δεῖ] χρὴ ‖ παθῶν] παθημάτων ‖ ante ἐπειδὰν sententia: τοῦτο γὰρ καὶ συμφέρον καὶ οὐ χαλεπὸν inserta est ‖ γὰρ] δὲ ‖ ἐνσκήψῃ] ἐνσκήψῃ καὶ τὸ εἴδωλον αὐτοῖς τῆς ἐπιθυμίας ἐντυπώσῃ.

104) Μέθη καὶ τρυφὴ ναυάγιόν ἐστι τοῖς χρωμένοις.

Cf. cap. XCIX μέθην καὶ τρυφὴν τῶν ἀρχόντων ναυάγιον νόμιζε τῶν ἀρχομένων· ὅτε γὰρ ὁ κυβερνήτης καταποντίζεται τῇ πλησμονῇ καὶ τῷ οἴνῳ, πῶς οὐχὶ μυρίοις κύμασι καὶ κλυδῶσιν ἐσχάτοις ἡ κυβερνωμένη προσαράξει (l. προσαράξει) πολιτεία καὶ τῇ τοῦ κυβερνήτου συγκαταποθήσεται (l. συγκαταθήσεται) ἀπωλείᾳ;

105) Ἄριστον μὲν ἀνθρώπῳ μὴ διαμαρτεῖν μηδὲ τῆς ὀρθῆς κρίσεως ἀποσφαλῆναι, συνετοῦ δὲ καὶ τὸ πεσόντα εὐθὺς ἀναστῆναι καὶ χρήσασθαι τῷ πταίσματι παραγγέλματι πρὸς τὸ μὴ πάλιν πεσεῖν.

= cap. CI: τὸ πεσόντα] πεσόντα ‖ εὐθὺς] θᾶττον ‖ χρήσασθαι] χρῆσθαι ‖ παραγγέλματι in exitu extat.

106) Ἡ διὰ λόγων ὕβρις τοῖς ἐλευθέροις κατ' οὐδὲν διαφέρει τῆς διὰ πληγῶν καὶ μαστίγων· χρὴ οὖν τὸ ἐν ὕβρεσι παραφυλάττεσθαι προπετές· οὐ μέγα γὰρ δοκοῦν μεγάλας φέρει ζημίας.

= cap. CIV: κατ' οὐδὲν διαφέρει] οὐ πολὺ παραλλάσσει ‖ τὸ ἐν ὕβρεσι παραφυλάττεσθαι προπετὲς] παραφυλάττεσθαι τὸ προπετὲς τὸ ἐν τούτοις.

107) Οἱ ἔμφρονες καί εὐσταθεῖς τῶν ἀνθρώπων κατορθοῦντες μὲν οὐ φυσιοῦνται, ἀλλὰ μετριοφρονοῦντες τῆς εὐπραγίας κοσμοῦσι τὸν ὄγκον· περιπταίοντες δὲ φέρουσι γενναίως καὶ οὐ καταπίπτουσι τῷ συνενεχθέντι· οἴδασι γὰρ τὸ ἐφ' ἑκάτερα στρεπτὸν καὶ ἀβέβαιον τῶν ἀνθρωπίνων πραγμάτων· ἀφροσύνης δὲ καὶ κουφότητος τὸ ἐν ταῖς εὐπραγίαις ἐπαίρεσθαι καὶ ὀγκοῦσθαι καὶ ἐν ταῖς δυσπραγίαις σφόδρα καταπίπτειν καὶ ἐνασχημονεῖν τῇ ἀθυμίᾳ.

= cap. CIX: μετριοφρονοῦντες) μετρίῳ φρονήματι ‖ inter ὄγκον et περιπταίοντες habes: καὶ τῶν φθονούντων διαπραΰνουσι τὸ φλεγμαῖνον ‖ οὐ καταπίπτουσι τῷ συνενεχθέντι] τὸ συνενεχθὲν ἀρετῆς ὑπόθεσιν ποιούμενοι τῷ κράτει ταύτης δυναμοῦσι τὴν γνώμην καὶ τὸ ἀθυμοῦν ἐξορίζουσι τῆς διανοίας ‖ οἴδασι] ἴσασι ‖ στρεπτὸν] τρεπτὸν (recte) καὶ ἄστατον ‖ τῶν ἀνθρωπίνων] τῶν ἀνθρωπίνων πραγμάτων ‖ κουφότητος] κουφότητος καὶ ἀπειροκαλίας ‖ τὸ] τό τε ‖ καὶ ὀγκοῦσθαι om. ‖ καὶ ἐν] καὶ τὸ ἐν.

108) Ἀνδρῶν μὲν συνετῶν προνοῆσαι τὰ δυσχερῆ καὶ δι' εὐβουλίας ἀπώσασθαι· ἀγαθὸν δὲ καὶ τὰ συμβεβηκότα καλῶς διαθέσθαι καὶ οἰκονομῆσαι.

= cap. CX: δι' εὐβουλίας ἀπώσασθαι] ἀπώσασθαι δι' εὐβουλίας ‖ ἀγαθὸν] οὐκ ἐλαττόνων (v. l. οὐκ ἔλαττον optime).

109) Τὸ βοηθεῖν, ἐν οἷς ἕκαστος ἔχει χρείαν, διανοίας ἐστὶν ἐχέφρονος καὶ φιλανθρώπου, μάλιστα δὲ τοῖς ἐν συμφοραῖς περιπεσοῦσι· μετὰ γὰρ τῶν ἄλλων καὶ ἀείμνηστον συντηρεῖν εἰώθασι τὴν εὐεργεσίαν.

= cap. CXV: τὸ βοηθεῖν] ἐπικουρεῖν ‖ διανοίας — φιλανθρώπου] ἀρχικῆς καὶ ἐχέφρονος διανοίας. —

Simillimos locos transscripsi, quo commodius in contentionis iudicium vocari possent. Brevi praecidam: principum Christianorum munera epistula Photiana tradidit, Gnomologii nostri auctor Photii libellum in angustum ita coëgit, ut fines officiorum paulo longius proferret omniumque hominum vitam legibus atque praeceptis adstringeret [1]); sed neque Patriarcha cavit, ne praecepta ad universam vitam pertinentia admisceret [2]), neque Gnomologus maiestatis regiae officia singulis verbis plus minusve variatis exponere dubitavit [3]). — Epitomis delectabatur Photius, unde probabiliter confici potest, eundem et epistulae paraeneticae auctorem et corpusculi sententiosi conditorem fuisse; neque causam luculen-

---

[1]) cf. n. 2 et cap. XXX; 64 et XXXIV; 70 et XL; 73 et XLI; 76 et XLVII; 80 et LVIII; 82 et LXIV; 104 et XCIX; 109 et CXV.

[2]) cf. ipsius verba: ἀλλὰ ταῦτα μὲν ἀνθρώπῳ παντὶ πάσῃ δυνάμει παραφυλακτέον, ἄρχοντι καὶ ἀρχομένῳ, νέῳ καὶ πρεσβύτῃ, πλουσίῳ καὶ πένητι· κοινὴ γὰρ ἡ φύσις καὶ κοινὰ τὰ προστάγματα καὶ κοινῆς τῆς παραφυλακῆς καὶ ἐπιμελείας δεόμενα (cap. XXVIII).

[3]) cf. n. 74. 75. 77. 79. 81. 83. 88. 90. 97. 99. 101.

tam video, cur inscriptioni [1]), quae quidem epistulae pristinae summarium proponi doceat, fides derogetur, praesertim cum latius pateant ea, quae de officiis principis Christiani ipse patriarcha alio opusculo tradidit et praecepit, quod Leoni, imperatoris Basilii filio ad summum fastigium genito, in persona patris misit [2]). — Inprimis eclogae desiderantur, quarum materiam uberrimam Basilio personato praebuerunt Isocratis orationes πρὸς Δημόνικον (I) et πρὸς Νικοκλέα (II), quae quidem in simili argumento versantur [3]); Basilius ita se ad Isocratis imitationem contulit, ut omnibus vestigiis insistere videatur, Bulgariae princeps vivendi et agendi praecepta accepit, quorum auctor sententias Isocrateas primoribus labris gustet et extremis, ut aiunt, digitis adtingat cf.

Photius:	Isocrates:
cap. XXXII δύναιο δ' ἂν καὶ σὺ βουληθεὶς κάλλιστον αὐτουργῆσαι Θεῷ θῦμα καὶ ἐρασμιώτατον, βίον αὐτῷ καλλιερούμενος καθαρὸν καὶ διανοίας ὀρθότητα.	Or. II 20 ἡγοῦ δὲ θῦμα τοῦτο κάλλιστον εἶναι καὶ θεραπείαν μεγίστην, ἂν ὡς βέλτιστον καὶ δικαιότατον σαυτὸν παρέχῃς.
XL πολλοὶ γὰρ κακῶς μὲν πράττουσιν ἐπεικούρησάν τε καὶ συνήργησαν τοῖς φίλοις, εὖ δὲ φερομένων ὁρᾶν οὐκ ἤνεγκαν τὴν εὐημερίαν.	I 26 πολλοὶ γὰρ ἀτυχοῦσι μὲν συνάχθονται, κακῶς δὲ πράττουσι φθονοῦσι.
XLIV ὅσῳ δέ τις προέχει τῇ ἀρχῇ, τοσούτῳ χρεωστεῖ πρωτεύειν καὶ τῇ ἀρετῇ.	II 11 ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως, ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις.

---

[1]) Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου τῆς Κωνσταντινουπόλεως ἐκ τῆς πρὸς Μιχαὴλ τὸν ἄρχοντα Βουλγαρίας ἐπιστολῆς, τί ἐστιν ἔργον ἄρχοντος.

[2]) Βασιλείου τοῦ Ῥωμαίων βασιλέως κεφάλαια παραινετικὰ ξς' πρὸς τὸν ἑαυτοῦ υἱὸν Λέοντα, ἔχοντα ἀκροστιχίδα· Βασίλειος ἐν Χριστῷ βασιλεὺς Ῥωμαίων Λέοντι τῷ πεποθημένῳ υἱῷ καὶ συμβασιλεῖ. — Ad manus est editio Bernhardi Damkei, quae a. 1633 Basileae prodiit.

[3]) Cf. Or. I 5 διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες μέλλομέν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι καὶ τίνων ἔργων ἀπέχεσθαι καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν et II 2 ἡγησάμην δ' ἂν γενέσθαι ταύτην καλλίστην δωρεὰν καὶ χρησιμωτάτην καὶ μάλιστα πρέπουσαν ἐμοί τε δοῦναι καὶ σοὶ λαβεῖν, εἰ δυνηθείην ὁρίσαι, ποίων ἐπιτηδευμάτων ὀρεγόμενος καὶ τίνων ἔργων ἀπεχόμενος ἄριστ' ἂν καὶ τὴν πόλιν καὶ τὴν βασιλείαν διοικοίης. — Benseleri altera utor editione, a Friderico Blassio adornata (Lipsiae 1878 sq.).

XLV ἄρχε τοίνυν τῶν ὑπηκόων, μὴ πεποιθὼς τυραννίδι, ἀλλὰ τῇ τῶν ἀρχομένων εὐνοίᾳ· εὔνοια γὰρ μεῖζον ἀρχῆς βάθρον καὶ ἀσφαλέστερον ἢ φόβος.

XLVII δεῖ δὲ ἐγκρατῶς ἄρχειν οὐ τῷ κολάζειν, ἀλλὰ τῷ δοκεῖν κολαστικὸν εἶναι.

XLVIII ἄρχοντος μέν τινες ἔφησαν ἀρετὴν ἐκ μικρᾶς μεγάλην πόλιν ποιῆσαι.

LI ὁ τῶν ἀρχόντων τρόπος νόμος γίνεται τοῖς ὑπὸ χεῖρα.

LVII ὅταν τις ἄρχῃ ἑαυτοῦ, τότε νομιζέτω καὶ τῶν ὑπηκόων ἄρχειν ἀληθῶς.

LXV προνόει πάντων, τῶν μὲν ἐπιεικῶν, ὡς ἂν ἄριστοι γένωνται καὶ τῆς ὀφειλομένης αὐτοῖς ἀπολαύσωσι τιμῆς καὶ τοῦ προνομίου, τῶν δὲ μὴ τοιούτων, ὡς ἂν βελτιωθῶσι τὰς γνώμας καὶ τῆς ἀπὸ τῶν νόμων ῥυσθῶσιν ἀτιμίας· τοῦτο γὰρ ὡς ἀληθῶς ἀρχῆς ἐννόμου καὶ ἐπιστασίας ἔργον.

II 21 φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τήν τε τῶν φίλων ἀρετὴν καὶ τὴν τῶν πολιτῶν εὔνοιαν.

II 24 ἀρχικὸς εἶναι βούλου μὴ χαλεπότητι μηδὲ τῷ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας κτλ.

II 9 πρῶτον μὲν οὖν σκεπτέον, τί τῶν βασιλευόντων ἔργον ἐστίν..... οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι προσήκειν αὐτοῖς πόλιν δυστυχοῦσαν παῦσαι καὶ καλῶς πράττουσαν διαφυλάξαι καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι.

I 36 πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις, ἰσχυρότατον μέντοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον.

II 29 ἄρχε σεαυτοῦ μηδὲν ἧττον ἢ τῶν ἄλλων, καὶ τοῦθ' ἡγοῦ βασιλικώτατον, ἂν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν.

II 31 σημεῖον ἔστω σοι τοῦ καλῶς βασιλεύειν, ἂν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπιμέλειαν.

Lacunam commode explet Gnomologii pars secunda (n. 3—61 et 63), qua Isocratis particulae errabundae continentur, quae propemodum solidam et expressam codicis Isocratei effigiem praebeant cf.

N. 3) Ἡγοῦ μηδὲν εἶναι κτῆμα τῆς ἀρετῆς τιμιώτερον ἢ μονιμώτερον· κάλλος μὲν γὰρ ἢ χρόνος ἀνάλωσεν ἢ νόσος ἐμάρανε, πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν, ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν· ῥώμη τε μετὰ μὲν φρονήσεως ὠφέ-

λησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἔβλαψε, καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν· ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ταῖς διανοίαις συναυζηθῇ, μόνη μὲν συγγηράσκει, πλούτου δὲ κρείττων, χρησιμωτέρα δὲ εὐγενείας ἐστί, τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα δυνατὰ καθιστᾶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ θαρσαλέως ὑπομένουσα, καὶ τὸν μὲν ὄκνον ψόγον, τὸν δὲ πόνον ἔπαινον ἡγουμένη.

a) ἡγοῦ — μονιμώτερον] cf. I 5 ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν, ἧς οὐδὲν κτῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστι, — b) κάλλος — ἐσκότησεν] = ibid. § 6: ἀνάλωσεν] ἀνήλωσεν [1]) ‖ ῥώμη τε] ῥώμη δὲ recte, — c) ἡ δὲ — ἡγουμένη] = § 7: δὲ εὐγενείας] δ' εὐγενείας. Scilicet Gnomologus nullam fere rationem hiatus habet cf. nota critica ad n. 17. — In Basilii persona Photius oratorem Atticum imitatione effingit atque exprimit cf. cap. I μόνη γὰρ ἀρετὴ τῶν κτημάτων ἁπάντων ἀθάνατος, VI τῆς ἀρετῆς εἰκόνας σοι προκεῖσθαι φιλονεικοῦμεν, ἐπίψογον μὲν τὸν ὄκνον ἡγούμενοι, ἐν ἐπαίνῳ δὲ τὸν πόνον ποιούμενοι, VIII οὐχ οὕτω τὰ τοῦ κόσμου πάντα τερπνὰ ὡς ὁ τῆς ἀρετῆς πλοῦτος τὸν βασιλέα κοσμεῖ· τὸ μὲν γὰρ κάλλος καὶ ἡ εὐπρέπεια ἢ νόσῳ ἢ χρόνῳ μαραίνεται, πλοῦτος δὲ ῥᾳθυμίας καὶ ἡδονῶν ὑπάρχει πατήρ· ῥώμη μὲν γὰρ (l. ῥώμη δὲ) τὰ μὲν σώματα ταῖς νίκαις κοσμεῖ, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπισκοτεῖ, ἡ δὲ κτῆσις τῆς ἀρετῆς, οἷς ἂν προσγένηται, καὶ πλούτου καὶ εὐγενείας χρησιμωτέρα ἐστὶ καί, ἅπερ ἄλλοις ἀδύνατα δοκεῖ, αὕτη ταῦτα σὺν Θεῷ δυνατὰ παριστᾷ, XIII ῥώμην σώματος καὶ τίμα καὶ ἀποδέχου, ἐὰν καὶ φρονήσει κοσμεῖται (sic)· ὅσον γὰρ μετὰ φρονήσεως ὠφελεῖν δύναται, τοσοῦτον ἄνευ φρονήσεως βλάπτειν τοὺς ἔχοντας εἴωθεν, XXXIV πλοῦτος μὲν γὰρ (adde: οὐ) δι' ἀρετὴν ἐνυπάρχων κακίας μᾶλλον, ἀλλ' οὐκ ἀρετῆς ὑπηρέτης ἐστιν.

4) Μᾶλλον θαύμαζε τοὺς περὶ σὲ μετ' εὐνοίας σπουδάζοντας ἢ τοὺς τῷ γένει προσήκοντας· πολλῷ γὰρ κρείττων πρὸς ἑταιρείαν τρόπος γένους καὶ προαίρεσις ἀνάγκης.

Cf. I 10 (de Hipponico, Demonici patre) οὐδὲ ταπεινῶς διῴκει τὸν αὑτοῦ βίον, ἀλλὰ φιλόκαλος ἦν καὶ μεγαλοπρεπὴς καὶ τοῖς φίλοις κοινός, καὶ μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὐτὸν σπουδάζοντας ἢ τοὺς

---

[1]) ἀνάλωσεν EZv. cf. tamen Benseler ad Isocr. Areop. (1832) p. 133 sqq., Ellendt-Genthe, Lexic. Sophocl. (1872) p. 54, Meisterhans, Grammatik der attischen Inschriften [2](1888) p. 137 n. 21. — Blassius nostro loco ἀνήλωσεν offert, V 96 ἀνήλισκον, VII 9 ἀνηλωκότες, 66 ἀνήλωσεν, VIII 67 ἀνηλώσαμεν, XII 140 ἀνηλωκότων, XV 94 ἀνηλωκότας, 113 ἀνήλωσε et ἀνήλωσαν, 158 ἀνηλώκαμεν, 165 ἀνήλωκα, XVIII 60 ἀνηλωμένων, 62 ἀνηλωκότας, sed III 31 κατηναλωμένα edidit et IX 60 κατηνάλωσεν.

γένει (τῷ γένει ΓΕν., — sed cf. XIX 33 γένει μέν φασι προσήκειν) προσήκοντας· ἡγεῖτο γὰρ εἶναι πρός ἑταιρίαν (eodem modo Γ ἑταιρίας adgnoscit IV 174, ubi de amicitia est sermo, voce ἑταιρεία factionem designat III 54, IV 79, XVI 6; cf. Lobeckius ad Sophocl. Ai. 682) πολλῷ κρείττω φύσιν νόμου καὶ τρόπον γένους καὶ προαίρεσιν ἀνάγκης. — Basilius habet cap. XII χαῖρε τοῖς σπουδάζουσι περὶ σὲ τῶν φίλων μᾶλλον ὡς ἀληθέσιν ἢ τοῖς γένει προσήκουσιν· ἡ μὲν γὰρ τοῦ γένους φιλία οὐκ ἐξ ἀρετῆς, ἀλλ' ἐκ φύσεως περιγέγονεν, ἥτις οὐδὲ ἑκούσιος σὺν δίκῃ κριθείη, ἡ δὲ ἀγαπητῶν φίλων ἐξ ἀρετῆς καὶ γνώμης ἑκουσίου κατώρθωται περὶ σέ, κἀκείνη μὲν τὴν φύσιν ἔχει νόμον, αὕτη δὲ τὸν Θεόν· πολλῷ γὰρ κρείττων ἐν χρείᾳ καὶ ὁ τρόπος τοῦ γένους καὶ ἡ προαίρεσις τῆς ἀνάγκης.

5) Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν.

= I 15; — cf. Basilius cap. XXVIII μηδὲ γέλωτα ἀκρατῆ στέργε· ἀπαίδευτον γάρ.

6) Ἃ ποιεῖν αἰσχρόν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν.

= I 15 (post n. 5); — cf. Basilius cap. XVI καὶ ἃ πάλιν πράττειν αἰσχύνῃ, ταῦτα λέγειν μὴ ἀναισχύντει.

7) Ἔθιζε σαυτὸν εἶναι μὴ σκυθρωπόν, ἀλλὰ σύννουν· δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις.

= I 15 (post n. 6): σαυτὸν] σεαυτὸν cf. Br. Keil, Anal. Isocrat. (1885) p. 104 sqq.; breviores formas excerpta nostra suppeditant etiam n. 8 et 9 (σαυτῷ) et 19 (σαυτόν), σεαυτοῦ habes n. 39 et 45, σεαυτὸν n. 20 et 38, ἑαυτοῦ n. 39, ἑαυτὸν n. 20 et 55.

8) Ἡγοῦ μάλιστα σαυτῷ πρέπειν κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην· τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖν τὸ τῶν ἀνδρῶν ἦθος.

= I 15 (post n. 7): σαυτῷ] σεαυτῷ cf. ad n. 7 ‖ κόσμον Isocratis editor perperam cancellis saepsit ‖ κρατεῖν] κρατεῖσθαι Isocr. (h. e. contineri, regi): κοσμεῖσθαι ex coniectura Blassius dedit (κατακοσμεῖσθαι temptabat Strangius Mus. Rhen. vol. V — 1847 — p. 158); nihil iuvat Basilii locus: cap. XX ἐμὲ δὲ τιμήσεις, οὐ καθάπερ τινὲς τῶν ὑπηκόων ἢ γονυπετῶν ἢ δορυφορῶν ἢ ἐπευφημῶν· ἀνάξια γὰρ ταῦτα βασιλέως ἀνδρός· ἀλλὰ τιμῶν μὲν τὴν ἀρετήν, ἀσκῶν δὲ τὴν σωφροσύνην, κοσμῶν δέ σου τὸ ἦθος, σπουδάζων δὲ περὶ τοὺς λόγους, οἷς ἡ τῶν νέων καλλωπίζεται γνώμη. — Ex mea quidem sententia κρατεῖν optimum sensum praestat, si notio 'praevalendi' verbo subicitur cf. II 25, IV 98, V 95, VII 67, X 42, XVI 26, XVIII 17. 62. Quattuor virtutes (κόσμος = κοσμιότης cf. Schmidt, Ethik der alten Griechen vol.

I p. 314 sqq.) enumerantur, quibus homines excellere possint; ἅπασι ad τούτοις pertinet[1]) ‖ ἀνδρῶν] νεωτέρων cf. I 5 διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες μέλλομέν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι et § 19 μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους· αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν αὑτῶν διάνοιαν cl. § 6 (n. 3) ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. Sed 'virorum' significatio ab auctoris consilio haudquaquam abhorret cf. § 22 (= n. 21 infra) cl. § 44 καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν· οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν· ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς πραγματείας ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν.

9) Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· ἂν γὰρ τοὺς ἄλλους λάθῃς, σαυτῷ συνειδήσεις.

= I 16: ἂν γὰρ] καὶ γὰρ ἂν cf. n. 13 ‖ σαυτῷ] σεαυτῷ cf. ad n. 7. — Similis est Basilii ἔννοια cap. XLII κἂν γὰρ ἑτέρους λανθάνειν δόξῃς, ἅπερ ἐν κρυφῇ πράξεις, ἀλλ' οὖν γε τὴν σεαυτοῦ συνείδησιν καὶ Θεόν, τὸν καὶ αὐτῶν τῶν τῆς ψυχῆς ταμείων ἔφορον, ἐπαισχυνθήσῃ.

10) Νόμοις πείθεσθαι καὶ φίλους αἰσχύνεσθαι καὶ γονεῖς τιμᾶν καὶ φοβεῖσθαι τὸ θεῖον μετὰ τοῦ σέβεσθαι καὶ τιμᾶν ἀρίστη ὁδός ἐστι τῆς πρὸς ἀρετὴν ἀναβάσεως.

Cf. I 16 (post n. 9) τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πείθου. Verba ἀρίστη — ἀναβάσεως ex I 5 fluxerunt: ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν.

11) Τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου κάκιστον.

= I 16 (post n. 10).

---

[1]) Cf. ἅπαντες οὗτοι VI 73; οὗτοι — ἅπαντες IV 67, IX 13; ἁπάντων τούτων II 3, VI 101, VIII 27; τούτων ἁπάντων IX 50, X 34, XV 63; πᾶσι τούτοις IV 184; ἅπαντα ταῦτα III 41. 64, IV 32. 165, V 37. 132, XIII 7, XVII 8, Epist. IX 7; πάντα ταῦτα IV 47, V 147; ταῦθ' ἅπαντα II 17, IV 42, V 149; ταῦτα πάντα IV 137, V 126, IX 23. 47, XIX 41, XXI 1, Epist. II 4. 16, VII 11; πάντων τούτων XV 127; τούτον ἁπάντων XIII 18; τούτων πάντων I 21; τούτοις ἅπασιν XV 111; ἅπαντας τούτους IV 67, XV 118; τούτους ἅπαντας XV 94; ἁπάσας ταύτας XII 256.

12) Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν.

= I 17.

13) Ἅπαντα δόκει ποιεῖν ὡς μηδένα λήσων· καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ.

= I 17 (post n. 12): ὀφθήσῃ] ὀφθήσει cf. n. 18 (bis). 20. 32. 34. 38. 48; nimirum Photius reconditiores dialecti Atticae leges non observat.

14) Μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης.

= I 17 (post n. 13); cf. Basilius cap. XXI ἵνα σου τὴν βασιλείαν ἄμεμπτον διαφυλάξῃς, ἅπερ ἂν ἑτέροις πράττουσιν ἐπιτιμήσεις (l. ἐπιτιμήσαις sive potius ἐπιτιμήσῃς), ταῦτα πράττειν αὐτὸς μὴ ἐπιχειρήσεις (l. ἐπιχειρήσῃς).

15) Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις, ἃ δὲ μήπω μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις· ὁμοίως γὰρ αἰσχρὸν ἀκούσαντα λόγον χρήσιμον μὴ μαθεῖν καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαμβάνειν.

= I 18 (inter n. 14 et 15 habes: ἐὰν ᾖς φιλομαθής, ἔσει πολυμαθής) ‖ διαφύλαττε] ταῦτα διαφύλαττε; sed eodem modo pronomen in altero membro (προσλάμβανε ταῖς ἐπιστήμαις) deest; διαφύλαττε adgnoscit v., ταῦτα per se nihil offendit cf. e. gr. I 15 (n. 6) ἃ ποιεῖν αἰσχρόν, τ α ῦ τ α (om. Z) νόμιζε μηδὲ λέγειν εἶναι καλόν, II 38 (n. 61) ἅττ' ἄν σοι λογιζομένῳ φαίνηται βέλτιστα, τ α ῦ τ α τοῖς ἔργοις ἐπιτέλει, III 61 ἃ πάσχοντες ὑφ' ἑτέρων ὀργίζεσθε, τ α ῦ τ α τοὺς ἄλλους μὴ ποιεῖτε, VIII 53 οὓς γὰρ ὁμολογήσαιμεν ἂν πονηροτάτους εἶναι τῶν πολιτῶν, τ ο ύ τ ο υ ς πιστοτάτους φύλακας ἡγούμεθα τῆς πολιτείας εἶναι, 114 ἃ γὰρ ἐπὶ τῶν ἄλλων ὁρᾶτε, τ α ῦ τ' ἐφ' ὑμῶν αὐτῶν ἀγνοεῖτε, XV 19 μηδ' ἃ τοῖς ἄλλοις ἂν ἐπιτιμήσαιτε, τ ο ύ τ ο ι ς αὐτοὶ φανήσεσθε περιπίπτοντες XIX 43 Θράσυλλος μὲν γάρ, οὕσπερ ἠβούλετο, τ ο ύ τ ο υ ς κυρίους τῶν αὑτοῦ κατέλιπεν cll. I 21 (n. 20) ὑφ' ὧν — τούτων, 33 ὧν — τούτων (et οὓς — περὶ αὐτῶν), II 38 ἃ — τούτοις, VIII 52 ὧν — ταῦτα, 55 οἷς μὲν — τούτους μὲν et οἷς δ' — τούτους δ', XX 13 ἐφ' ἧς — ἐπὶ ταύτης ‖ μήπω] μὴ minus recte ‖ λόγον χρήσιμον] χρήσιμον λόγον cf. II 46 χρήσιμόν τι λέγων ‖ λαμβάνειν] λαβεῖν, — sed ad διδόμενον melius infinitivus λαμβάνειν quadrat (cf. n. 16 εὑρισκόμενα — μανθάνειν), ad ἀκούσαντα rectius μαθεῖν pertinet; nostras lectiones etiam Georgides in Boissonadi Anecd. Gr. vol. I p. 8 et 33 suppeditat, μανθάνειν et λαμβάνειν coniungit v.

16) Κατανάλισκε τὴν ἐν βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιλησοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρισκόμενα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν.

= I 18 (post n. 15): ἐν βίῳ] ἐν τῷ βίῳ, — cf. I 30 (sive n. 33) et VII 37 cll. περὶ τὸν βίον I 25. 40. 47. ‖ εὑρισκόμενα] εὑρημένα cf. ad n. 15.

17) Τῷ μὲν τρόπῳ γίνου φιλοπροςήγορος, τῷ λόγῳ δὲ εὐπροςήγορος· ἔστι δὲ φιλοπροςηγορίας μὲν τὸ προςφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροςηγορίας δὲ τὸ τοῖς αὐτῶν λόγοις οἰκείως ἐντυγχάνειν.

= I 20: γίνου] γίγνου, — cf. n. 24. 34. 50 (bis). 54. Eodem forma διαγινώσκομεν (n. 25) pertinet; cf. 'Anthologiae Planudeae Appendix Barberino-Vaticana' (L. 1890) p. 26 sq. ‖ τῷ λόγῳ δὲ εὐπροςήγορος] τῷ δὲ λόγῳ εὐπροςήγορος Is., ubi τῷ λόγῳ δ' (cf. ad n. 3) Blassius ex coniectura scripsit (Attische Beredsamkeit vol. II p. 257 n. 4) ‖ τοῖς αὐτῶν λόγοις] τοῖς λόγοις αὐτοῖς. Legendum: τοῖς λόγοις αὐτῶν cf. Isocrates X 69 πολλοῖς καὶ κοινοῖς λόγοις ἐντεύξονται περὶ αὐτῆς et Plato Reip. VI p. 498 D ὅταν αὖθις γενόμενοι τοῖς τοιούτοις ἐντύχωσι λόγοις.

18) Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις· οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ.

= I 20 (post n. 17): ἀπεχθὴς ἔσῃ] ἀπεχθὴς ἔσει (cf. n. 13) Is., ἀπεχθήσει editor cum Cobeto (Var. Lect. ²p. 515) scripsit ‖ γενήσῃ] γενήσει, — cf. n. 13.

19) Γύμναζε σαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ ἀκουσίους ὑποφέρειν.

= I 21 (inter n. 18 et 19 Isocrates praebet § 20: τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων): σαυτὸν] σεαυτὸν cf. n. 7 ‖ δύναιο] δύνῃ (δύναιο v.) ‖ ἀκουσίους] τοὺς ἀκουσίους excluso hiatu legitimo, qui ab omni etiam minimi errati suspicione remotus est ‖ ὑποφέρειν] ὑπομένειν cf. Democritus fr. 86 (Fragmenta Philosophorum Graecorum ed. Mullach., vol. I p. 346) οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέραν παρασκευάζουσι. Ceterum inter ὑπομένειν et ὑποφέρειν nihil fere interest nostroque loco ὑποφέρειν etiam Florilegium in Boissonadi Anecd. Gr. vol. I p. 121 adgnoscit cf. a) I 7 τὰ δὲ τῷ πλήθει φοβερὰ θαρσαλέως ὑπομένουσα, 9 τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζεν, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμενεν (ὑφίστατο Γ corr. Z; cf. III 28, V 34), IV 52 οὐ γὰρ μικροὺς οὐδ' ὀλίγους οὐδ' ἀφανεῖς ἀγῶνας ὑπέμειναν, 124 καὶ τοιούτους κινδύνους ὑπομένειν, VI 7 ὑπὲρ ἧς οὐδὲν ὅ τι τῶν δεινῶν οὐχ ὑπομενετέον, 70 πάντας ἂν τοὺς ἐκ τοῦ πολέμου κινδύνους ὑπομείναιμι, 75 ποία γὰρ ἂν τῶν πόλεων τῶν ἐν Πελοποννήσῳ τοιοῦτον πόλεμον ὑπομείνειεν, 86 ταύτας τὰς συμφορὰς καὶ πολὺ δεινοτέρας τούτων ὑπομενετέον ἡμῖν, 89 ἐγὼ μὲν γὰρ

ὑπὲρ τούτων οὐ μόνον πόλεμον, ἀλλὰ καὶ φυγὰς καὶ θανάτους οἶμαι προσήκειν ἡμῖν ὑπομένειν, VIII 19 καὶ πολλοὺς κινδύνους ὑπομένειν ἠνάγκασε, X 62 μετὰ δὲ ταῦτα τοσαύτην Μενελάῳ χάριν ἀπέδωκεν ὑπὲρ τῶν πόνων καὶ τῶν κινδύνων, οὓς δι' ἐκείνην ὑπέμεινεν, XII 261 ἀλλ' ἐπιθυμοῦντες τυχεῖν αὐτῆς οὐκ ἔστιν ὄντινα κίνδυνον οὐχ ὑπομένουσι, XVI 12 καὶ ποῖον κίνδυνον οὐκ ἂν ὑπέμεινεν cll. I 19, IV 35. 94, V 107, VI 47. 55. 84. 97, VII 64, VIII 40. 65. 79. 120. 125, X 25, XV 179, XVII 55, XVIII 3, XIX 24. 26, Apophth. α′ n. 1, — b) Or. III 64 καὶ πόνους καὶ κινδύνους οὑστινασοῦν ὑπενεγκεῖν, Epist. II 5 διὸ δὴ συμβαίνει, μὴ μιᾶς ἀτυχίας συμπεσούσης ἀνηρῆσθαι καὶ τὴν δύναμιν αὐτῶν, ἀλλὰ πολλὰς ὑποφέρειν δύνασθαι συμφορὰς cll. Or. I 30 (n. 34), VI 55, XV 154.

20) Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρόν, τούτων ἐγκράτειαν ἄσκει πάντων· κέρδους, ὀργῆς, ἡδονῆς, λύπης· ἔσῃ δὲ τοιοῦτος, ἐὰν κέρδη μὲν εἶναι νομίσῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις, τῇ δὲ ὀργῇ παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς ἑαυτὸν ἁμαρτάνοντα τοὺς ἄλλους ἔχειν ἀξιώσειας, ἐν δὲ τοῖς τερπνοῖς, ἐὰν αἰσχρὸν ὑπολάβῃς τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δὲ ἡδοναῖς δουλεύειν, ἐν δὲ τοῖς λυπηροῖς, ἐὰν τὰς τῶν ἄλλων ἀτυχίας ἀποβλέπῃς καὶ σεαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς.

= I 21 (post n. 19): ἔσῃ] ἔσει cf. n. 13 ‖ νομίσῃς] νομίζῃς cf. ἔχῃς — ὑπολάβῃς et n. 15 ‖ δὲ ὀργῇ] δ' ὀργῇ cf. n. 3 ‖ τοὺς ἄλλους] καὶ τοὺς ἄλλους cf. I 45 τὸν γὰρ αὐτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι, Epist. III 2 ἡγούμενος, ἂν τὰς προεστώσας πόλεις πείσῃς οὕτω φρονεῖν, ταχέως καὶ τὰς ἄλλας ἐπακολουθήσειν, — nec tamen καὶ omissum ab usu sermonis abhorret (cf. e. gr. I 17 sive n. 14 supra, II 29, XV 125), quiquidem in utroque membro particulam commendet cf. VIII 65 ὅμως δ' ἐπειδήπερ ὑπεμείνατε καὶ τοὺς ἄλλους λόγους, ἀληθεῖς μὲν ὄντας, φιλαπεχθήμονας δέ, καὶ τοῦτον ὑμῶν ἀνασχέσθαι δέομαι, XV 253 οὐκοῦν χρὴ καὶ περὶ τῶν λόγων τὴν αὐτὴν ἔχειν διάνοιαν, ἥνπερ καὶ περὶ τῶν ἄλλων, Epist. VIII 1 ἐδεήθησάν μου γράμματα πέμψαι πρὸς ὑμᾶς, ὅπως ἄν, ἐπειδὴ καὶ τῶν ἄλλων τινὰς κατηγάγετε φυγάδων, καὶ τοῦτον καταδέξησθε. Recte igitur Gnomologus noster n. 42 (I 37) καὶ adiecit cf. etiam I 24 (sive n. 23) ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενέσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε, XIX 8 οὐ πολὺν δὲ χρόνον συνοικήσας ταῖς αὐταῖς τύχαις ἐχρήσατο καὶ περὶ ταύτην, αἷσπερ καὶ περὶ τὴν προτέραν ‖ δὲ ἡδοναῖς] δ' ἡδοναῖς cf. n. 3 ‖ λυπηροῖς] πόνηροῖς, quae exquisitior est scriptura cf. XIX 12 πονήρως διέκειτο, 24 πονήρως μὲν ἔχοντα. Lectio-

nem λυπηροῖς (cf. n. 34 supra sive I 31 et V 116) praeter v. offert Stobaeus Flor. V 55 ‖ ἀποβλέπῃς] ἐπιβλέπῃς cf. n. 39 infra (I 35); vox simplex in gemella Monostichorum sententia (v. 651) occurrit: βλέπων πεπαίδευμ' εἰς τὰ τῶν πολλῶν κακά, ubi ἄλλων (pro πολλῶν) reponendum cf. 'Menandrea' (Rozprawy Wydziału filologicznego Akademii Umiejętności, vol. XIV) p. 372.

21) Μᾶλλον τήρει τὰς τῶν λόγων πίστεις ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους.

= I 22: πίστεις om. cf. Lysias VIII 17 παρακαταθήκην ἔχων ὑμῶν παρ' ἑκάστου λόγους πονηροὺς περὶ ἀλλήλων, Anaxandrides fr. 55, 1 sq. Kock (cf. 'Excerpta Parisina' p. 57 n. 3 supra) ὅστις λόγους παρακαταθήκην γὰρ λαβὼν | ἐξεῖπεν, Porphyrius de vita Pythag. 39 παρακαταθήκην δὲ μὴ χρημάτων μόνον, ἀλλὰ καὶ λόγων πιστῶς τῷ παρακαταθεμένῳ φυλάσσειν. — De sententia cf. Basilius cap. XVI τρόπος ἔστω σοι τοῦ λόγου πιστότερος. Similiter Isocrates II 22 διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους μᾶλλον ἢ τοὺς τῶν ἄλλων ὅρκους.

22) Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν.

= I 22 (post n. 21).

23) Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς πρότερον φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ τοιοῦτον γενέσθαι, οἷος καὶ περὶ ἐκείνους γέγονε.

= I 24: τοιοῦτον γενέσθαι] γενέσθαι τοιοῦτον sine hiatu. — Isocratis locum copiosa loquacitate Basilius cap. XXIII circumiit: ἐκείνους κτῆσαι φίλους καὶ θεράποντας, οἵτινες ἀγαθοὶ καὶ πρὸς ἑτέρους φίλους ἢ δεσπότας προγεγονότες τυγχάνουσιν· ἃ γὰρ ἐν ἐκείνοις εἰργάσαντο, ταῦτα καὶ εἰς σὲ ποιῆσαι οὐκ ἀποκνήσουσι· ὁ μὲν γὰρ σπουδαῖος περὶ τοὺς πάλαι φίλους γεγονὼς σποδαῖος ἂν καὶ περὶ σὲ γενέσθαι πιστευθήσεται, ὁ δὲ τοῖς προτέροις φίλοις ἢ δεσπόταις ἄχρηστός τε καὶ ῥᾴθυμος γεγονὼς σχολῇ τε περὶ σὲ σπουδαῖος καὶ χρήσιμός ποτε ὀφθήσεται.

24) Βραδέως μὲν φίλος γίνου, γενόμενος δὲ πειρῶ διαμένειν· ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

= I 24 (post n. 23): γίνου] γίγνου cf. n. 17.

25) Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ βασανίζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν· οὕτω δ' ἂν ἄριστα χρήσαιο τοῖς φίλοις, ἐὰν μὴ προσεπιμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος αὐτοῖς ἐν τοῖς καιροῖς βοηθῇς.

= I 25 (inter n. 24 et 25 Isocrates offert § 24 μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων μήτ' ἄπειρος εἶναι τῶν ἑταίρων ϑέλε· τοῦτο δὲ ποιήσεις, ἐὰν μὴ δεόμενος τὸ δεῖσϑαι προσποιῇ et § 25 περὶ τῶν ῥητῶν ὡς ἀπορρήτων ἀνακοινοῦ· μὴ τυχὼν μὲν γὰρ οὐδὲν βλαβήσει, τυχὼν δὲ μᾶλλον αὐτῶν τὸν τρόπον ἐπιστήσει): διαγινώσκομεν] διαγιγνώσκομεν cf. n. 17 ‖ οὕτω δ' ἂν ἄριστα χρήσαιο] οὕτως ἄριστα χρήσει. Cum nostro facit Georgides p. 25, οὕτω δ' ἄριστα χρήσει praebet v.; δ' eodem modo recurrit I 35 (n. 39 infra), ubi citra necessitatem οὕτως ἂν coniecit Blassius Praef. p. X cf. insuper V 28 οὕτω δ' ἂν ἀκριβέστατα καὶ κάλλιστα ϑεωρήσειας, εἴ τι τυγχάνομεν λέγοντες, ἢν τὰς μὲν δυσχερείας τὰς περὶ τοὺς σοφιστὰς καὶ τοὺς ἀναγιγνωσκομένους τῶν λόγων ἀφέλῃς, 137 οὕτω δ' ἄριστα βουλεύσει (οὕτω δ' ἂν ἄριστα βουλεύσαιο? cf. 138 οὕτω γὰρ ἂν ἄριστα βουλεύσαιο περὶ αὐτῶν) περὶ τούτων, ἢν ὑπολάβῃς, Epist. VIII 9 οὕτω δ' ἄν μοι δοκεῖτε (l. δοκοῖτε) κάλλιστα βουλεύσασϑαι περὶ τούτων, εἰ σκέψαισϑε cll. Or. I 12, IV 23, V 51, IX 60, XV 51. 288. 300, XX 3 ‖ προσεπιμένῃς] προσμένῃς (περιμένῃς v.; cf. IV 86. 118. 165. 172, VI 69. 101). Gnomologi vox aliunde non innotuit. — Sententiam imitando expressit Basilius cap. XXVI δοκίμαζε δὲ τοὺς φίλους ἔν τε ταῖς ἀνάγκαις καὶ ταῖς δυσπραγίαις, — qui ex suo subiunxit: τῶν γὰρ εὐημερούντων φίλοι πολλοί· κἀκείνους ἀληϑεῖς φίλους λογίζου, ὅσοι μὴ κέρδους ἕνεκα φιλοῦσιν, ἀλλὰ δι' αὐτὴν τὴν ἀρετὴν τῆς ἀγάπης· ἡ γὰρ ἄλλως φιλία τῷ καιρῷ δουλεύουσα ἐμπορία τις, ἀλλ' οὐ φιλία ταύτῃ λογίζεται.

26) Ὁμοίως αἰσχρὸν εἶναι νόμιζε τῶν ἐχϑρῶν τε νικᾶσϑαι ταῖς κακοποιίαις καὶ τῶν φίλων ἡττᾶσϑαι ταῖς εὐεργεσίαις.

= I 26: τε om.

27) Ἀποδέχου τῶν φίλων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαϑοῖς μὴ φϑονοῦντας· πολλοὶ γὰρ ἀτυχοῦσι μὲν συνάχϑονται, καλῶς δὲ πράττουσι τοῖς φίλοις φϑονοῦσι.

= I 26 (post n. 26): φίλων] ἑταίρων ‖ τοῖς φίλοις om.; — ἀτυχοῦσι μὲν τοῖς φίλοις pro ἀτυχοῦσι μὲν offert v.

28) Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκοίης μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν.

= I 26 (post n. 27): δοκοίης] δοκῇς. — Cf. Basilius cap. XXVI ἀλλὰ καὶ οὓς ἤδη κέκτησαι φίλους, εἰ βούλει πλέον ἐφέλκεσϑαι, ἐπαίνει ἀπόντας ἐπὶ τῶν παρόντων· καὶ γὰρ οὕτω δόξειας ἂν ἐπαινεῖν καὶ τοὺς παρόντας ἐπὶ τῶν ἀπόντων.

29) Ἀγάπα τῶν ὑπαρχόντων ἀγαϑῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν.

= I 27 (inter n. 28 et 29 Isocrates inserit § 27: εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής· ἔστι δὲ φιλοκάλου μὲν τὸ μεγαλοπρεπές, καλλωπιστοῦ δὲ τὸ περίεργον).

30) Καταφρόνει τῶν περὶ τὸν πλοῦτον μὲν σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο κακῶς ἱππεύειν ἐπιστάμενος.

= I 27 (post n. 29): περὶ τὸν πλοῦτον μὲν (om. v.) σπουδαζόντων] περὶ τὸν πλοῦτον σπουδαζόντων μέν. Omnino saepius μὲν ad verba adiungitur, quibus minus convenire videtur cf. V 131 οὐκ ἀγνοῶν, ὅτι τούτοις ὑπ' ἐμοῦ μὲν λεγομένοις πολλοὶ φθονήσουσι, τοῖς δ' αὐτοῖς τούτοις ὑπὸ σοῦ πραττομένοις ἅπαντες συνησθήσονται, XII 134 ἡγοῦμαι δὲ ταῦτα μὲν ἑτέροις πολὺ πλείους λόγους παρέξειν τῶν νῦν εἰρημένων, ἐμοὶ δ' οὐκέτι περὶ ἁπασῶν αὐτῶν εἶναι διαλεκτέον, nec non VI 5 ἐν οἷς κατορθώσαντες μὲν ἅπαντας ὑμᾶς ὠφελήσομεν, διαμαρτόντες δὲ τῆς ὑμετέρας γνώμης αὐτοὶ μὲν ἴσως φαυλότεροι δόξομεν εἶναι, ubi codicum ΓΕ scripturam ἐν οἷς μὲν κατορθώσαντες perperam Blassius neglexit; — optime vero particula in fine locutionis περὶ τὸν πλοῦτον conlocatur cf. I 16 (n. 11) σὺν τῷ καλῷ μέν, 40 (cf. n. 46 infra) τῷ σώματι μέν, II 4 τῶν ἰδιωτευόντων μέν, 16 οἱ βέλτιστοι μέν, IV 115 ἐν ταῖς πολιτείαις μέν, VII 44 τὰς ἀπορίας μέν, VIII 121 ἐν τῷ παρόντι μέν, XV 84 ὑπὸ τῶν ἄλλων μέν, 131 τῇ στρατηγίᾳ μέν ‖ ἵππον κτήσαιτο] ἵππον κτήσαιτο καλὸν rectissime.

31) Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ μέλλον ἀόρατον.

= I 29. — Verba κοινὴ — ἀόρατον in suum usum convertit Basilius cap. LXV ἐπὶ νίκαις ὑπεναντίων μηδέποτε ἐπαρθῇς, μηδὲ ἐπιχαρῇς ἐπὶ πτώσει ἐχθρῶν σου, μηδὲ ἐγγελάσῃς δυστυχίαν ἑτέρου, μηδὲ ἐπικροτήσῃς ἐπ' ἀπωλείᾳ ἀνθρώπου· κοινὴ γὰρ ἡ φύσις καὶ τὸ μέλλον ἀόρατον cf. etiam cap. XXXVIII διότι τὸ μέλλον ἀόρατον.

32) Τοὺς ἀγαθοὺς εὖ ποίει· καλὸς γὰρ θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη· κακοὺς δὲ εὖ ποιῶν ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν· ἐκεῖναί τε γὰρ τοὺς διδόντας ὥσπερ τοὺς βάλλοντας ὑλακτοῦσιν, οἵ τε κακοὶ τοὺς ὠφελοῦντας ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσιν.

= I 29 (post n. 31): κακοὺς δὲ (de hiatu cf. ad n. 3)] κακούς, ubi asyndeton (cf. Keilius, Anal. Isocr. p. 54 n. 6) minus placet ‖ πείσῃ] πείσει cf. n. 13 ‖ βάλλοντας] τυχόντας (τύπτοντας?) cf. βλάπτοντας in sequentibus. — Sententiam expressit Basilius cap. XXII λανθανέτω σε μηδεὶς τῶν παρὰ σοῦ δωρεὰς αἰτούντων ἢ ἀξιώματα ἐπιζητούντων, καὶ τούτους ἀναλαμβάνων τοὺς ἀγαθοὺς

εὖ ποίει· ἕξεις γὰρ ἀεὶ τὴν εὔνοιαν διαπαντὸς ἢ μᾶλλον εἰπεῖν ἀδιάπτωτον· ἄσυλος γὰρ θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ καὶ πολυπλασίων ἡ χάρις παρ' αὐτοῖς (l. αὐτῷ) ἐποφείλεται· ὁ δὲ τοὺς κακοὺς εὐεργετῶν ἐγκόλπιον ἔχει τὸν ὄφιν, ἐν καιρῷ μὲν θαλπόμενον, ἐν καιρῷ δὲ τὸν εὐεργέτην ἰοβόλῳ δήγματι ἀμυνόμενον· ὥσπερ γὰρ οἱ ἀλλότριοι κύνες τῶν σιτιζόντων ξένων καθυλακτοῦσιν, οὕτως οἱ κακοὶ τοὺς ὠφελοῦντας ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσιν.

33) Ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατον χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους.

= I 30 (inter n. 32 et 33 habes § 30 μίσει τοὺς κολακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύσαντας ἀδικοῦσιν).

34) Γίνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικός, ἀλλὰ μὴ σεμνός· τῶν μὲν γὰρ τὸν ὑπεροπτικὸν ὄγκον μόλις ἂν καὶ δοῦλοι καρτερήσαιεν, τῶν δὲ τὸν ὁμιλητικὸν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν· ὁμιλητικὸς δὲ ἔσῃ μὴ δύσερις ὢν μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάντας φιλόνεικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἁπαντῶν, μηδὲ ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν, ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων, μηδὲ παρὰ τὰ γελοῖα σπουδάζων, μηδὲ παρὰ τὰ σπουδαῖα τοῖς γελοίοις χρώμενος· τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν· μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος, ὅπερ πάσχουσιν οἱ πολλοί, ποιοῦντες μέν, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες· μηδὲ φιλαίτιος ὤν· βαρὺ γάρ· μηδὲ φιλεπιτιμητής· παροξυντικὸν γάρ.

= I 30 (post n. 33) et 31: γίνου] γίγνου cf. n. 17 ‖ τῶν μὲν γὰρ τὸν ὑπεροπτικὸν ὄγκον] τὸν μὲν γὰρ τῶν ὑπεροπτικῶν ὄγκον ‖ καὶ δοῦλοι] οἱ δοῦλοι ‖ τῶν δὲ τὸν ὁμιλητικὸν τρόπον] τὸν δὲ τῶν ὁμιλητικῶν τρόπον ‖ δὲ ἔσῃ] δ' ἔσει, — de hiatu cf. ad n. 3, de forma Attica ἔσει ad n. 13 dixi ‖ φιλόνεικος] φιλόνικος (φιλόνεικος Zv.) cf. O. Schneider, Isokrates ausgewählte Reden vol. I (ed. III; L. 1888) p. 122, M. Schanz ad Platon. vol. VI 1 p. VII sqq. ‖ μηδὲ ἂν] μηδ' ἂν cf. n. 3 ‖ χρώμενος] χαίρων minus recte. — Respexit Basilius cap. XXVIII μὴ ἧσθα φιλαίτιος ἐν τοῖς ὑπὸ χεῖρα· βαρὺ γάρ· μηδὲ ἑτοίμως ἐπιτιμῶν ἐν ταῖς ἀναστροφαῖς· φορτικὸν γάρ· μηδὲ γέλωτα ἀκρατῆ στέργε (cf. n. 5 supra)· ἀπαίδευτον γάρ· ἀλλὰ ἔσο μακρόθυμος μὲν ἐπὶ τοῖς πταίουσι, φιλάνθρωπος δὲ ἐν τοῖς ἐπιτιμίοις, σεμνὸς τὸ ἦθος, πρᾶος τὸν λόγον, ἥμερος δὲ καὶ ὁμιλητικὸς τὸν τρόπον· ταῦτα γὰρ ἅπαντα ποθητόν σε ποιήσει τοῖς ὑπὸ χεῖρα καὶ πατέρα μᾶλλον ἢ βασιλέα καλεῖσθαι παρασκευάσει.

35) Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἐὰν δέ ποτέ σοι συμβῇ καιρός, ἐξανίστασο πρὸ μέθης· ὅταν γὰρ ὁ νοῦς ὑπὸ μέθης διαφθαρῇ, ταὐτὸν πάσχει τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν· ἐκεῖνά τε γὰρ

ἀτάκτως φέρεται διαμαρτάνοντα τῶν εὐθυνόντων, ἥ τε ψυχὴ πολλὰ σφάλλεται διαφθαρείσης τῆς διανοίας.

= I 32: συμβῇ] συμπέσῃ cf. Isocrates Epist. I 1 ἐπειδὴ δ' οὐ κατὰ τοὺς αὐτοὺς χρόνους ὅ τε τῆς ἡλικίας τῆς ἐμῆς καιρὸς καὶ τῶν σῶν πραγμάτων συμβέβηκεν et Xenophon Hipparch. II 5 εἶτ' οὖ καὶ ἀποχωρεῖν καιρὸς συμβαίνει, — sed alteri lectioni suffragatur Isocrates XII 196 ἀλλ' ὡς οἵ τε καιροὶ καὶ τὸ συμφέρον ἑκάστοις καὶ τὸ βούλεσθαι συνέπιπτε et VIII 132 διείλεγμαι μὲν τὰ πλεῖστα περὶ αὐτῶν τούτων, οὐκ ἐφεξῆς, ἀλλ' ὡς ἕκαστον τῷ καιρῷ (l. ἑκάστοις ὁ καιρὸς) συνέπιπτεν. Omnino apud Isocratem verba συμβαίνειν et συμπίπτειν eandem fere notionem induunt ac promiscue ad eventum significandum usurpantur cf. a) 1) I 42 (n. 50) χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, II 5 τοῖς δ' ἀμφότερα ταῦτα συμβεβηκόταν, III 63 τί δεῖ περὶ τῶν συμβησομένων μακρολογεῖν; IV 53 ἀλλὰ πολὺ τῶν ἄλλων ἀκριβέστερον εἰδότες τὰ συμβαίνοντ' ἐκ τῶν τοιούτων, 162 τί δεῖ τὰ συμβησόμενα λίαν ἀκριβῶς ἐξετάζειν; V 18 νῦν διὰ τὸ μέγεθος τῶν συμβεβηκότων, 35 φυλακτέον, ὅπως μηδὲν συμβήσεταί σοι τοιοῦτον, 37 εἰ πρός τινας αὐτῶν ἀηδές τί σοι συμβέβηκεν, 97 ἐκ τῆς ἀτυχίας τῆς συμβάσης αὐτῷ, 119 μάλιστα δ' ἐκ τῶν Ἰάσονι συμβάντων, 124 ἐπεὶ νῦν γε τίς οὐκ ἂν εἰκότως τὰ συμβεβηκότα θαυμάσειε; 150 οὐ γὰρ αὐτόχειρες οὔτε τῶν ἀγαθῶν οὔτε τῶν κακῶν γίγνονται τῶν συμβαινόντων αὐτοῖς, VI 72 οἶμαι μὲν οὖν οὐδὲν συμβήσεσθαι δεινότερον τῶν νῦν παρόντων, 97 σκοπεῖν, ὅπως μηδὲν συμβήσεται τοιοῦτον, 103 ἔστι δ' οὐδὲν ἀνέλπιστον ἐκ τῶν νῦν παρόντων συμβῆναί τι τῶν δεόντων ἡμῖν, VII 6 ἐκ τῶν ἡμῖν καὶ Λακεδαιμονίοις συμβάντων, 30 καὶ γάρ τοι καὶ τὰ παρὰ τῶν θεῶν οὐκ ἐμπλήκτως οὐδὲ ταραχωδῶς αὐτοῖς συνέβαινεν, 35 ἀμφότερα γὰρ αὐτοῖς συνέβαινεν, 59 ὥστε πάντων ἂν μοι συμβαίη δεινότατον, VIII 8 χρὴ δὲ τοὺς νοῦν ἔχοντας — μὴ νομίζειν εἰδέναι τὸ συμβησόμενον, 28 ὅπερ καὶ τῇ πόλει συμβέβηκεν, 35 καὶ ταῦτ' εἰ μὴ κατὰ πάντων οὕτως εἴθισται συμβαίνειν, 60 τὸ μὲν γὰρ διὰ τὴν ἐκείνων ἀμαθίαν συμβαῖνον, 83 τῶν μὴ συμβήσεσθαι διὰ ταῦτα μελλόντων οὐδεμίαν ποιούμενοι πρόνοιαν, IX 29 προειδὼς τὸ συμβησόμενον οὕτω διέκειτο τὴν γνώμην, 56 ὅπερ συνέβη, X 45 τῶν δὲ μηδὲν πρὸ τοῦ πράγματος ἐνθυμουμένων, ἀλλὰ τὸ συμβαῖνον μόνον σκοπουμένων ἤδη τινὲς ἐλοιδόρησαν αὐτόν, XII 167 τί οὖν ἐστὶ τὸ συμβεβηκὸς ἀγαθὸν ἐκ τοῦ πολέμου; 177 βουλεύσασθαι περὶ τῶν συμβεβηκότων τοῖς τοιαῦτα διαπεπραγμένοις, 185 τὰς ἥττας τὰς ἄνευ κακίας συμβαινούσας, 221 οὐκ εἰδότες τὸ συμβησόμενον, 223 πράξεις ἁπάντων ἡμῖν αἴτιαι τῶν συμβαινόντων εἰσίν, 224 τὸ δὲ μηδὲν τῶν αὐτῶν συμβαίνειν τοῖς

ὀρθῶς καὶ δικαίως πράττουσι, 249 ὥςτ' οὐδὲν θαυμαστόν, εἰ καὶ περὶ τοῦ νῦν ἐνεστῶτος τοιοῦτόν τι συμβέβηκεν, 266 βούλομαι δὲ διαλεχθῆναι περὶ τῶν ἰδίᾳ μοι περὶ τὸν λόγον συμβεβηκότων, XIV 6 ἐνθυμηθέντας, ὅτι πάντων ἂν ἡμῖν ἀλογώτατον εἴη συμβεβηκός, 49 ὃ πολλοῖς τῶν ἡμετέρων πολιτῶν διὰ τὴν ἀπορίαν συμβέβηκεν, XV 16 οὕτω δέ μοι δυςκόλως ἅπαντα συμβέβηκεν, 19 ἃ φυλακτέον ἐστίν, ὅπως μηδὲν ὑμῖν συμβήσεται τοιοῦτον, 64 ἀναμιμνήσκω δὲ καὶ τὰ συμβάντα δι' αὐτὴν τῇ πόλει καὶ Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ἅπασιν, 83 διὰ τὸ προκατειλῆφθαι τὰ πλεῖστα τοὐναντίον συμβέβηκε, 104 ὅπερ ἐμοὶ συμβέβηκεν, 128 ὅπερ Τιμοθέῳ συμβέβηκεν, 134 τὸ δ' οὐχ οὕτως, ἀλλὰ τοὐναντίον φιλεῖ συμβαίνειν, 165 πάντων ἂν συμβαίη δεινότατον, 172 ὅπερ καὶ τῇ παιδείᾳ ταύτῃ συμβέβηκεν, 184 δυνάμενοι θεωρεῖν τὸ συμβαῖνον, 201 οὐδὲν ἑωρακότες τούτων συμβαῖνον, 205 τῇ τοίνυν φιλοσοφίᾳ φανήσεται καὶ τοῦτο συμβεβηκός, 222 τῶν μὲν γὰρ ἡδονῶν τῶν διὰ τὴν ἀκρασίαν ἐκείνοις συμβαινουσῶν οὐκ ἂν δύναιτο μετασχεῖν, 291 ἀγαθοῦ καὶ καλοῦ πράγματος αὐτοῖς συμβεβηκότος, 294 ὥςτε πάντων ἂν συμβαίη δεινότατον, 310 δέδοικα, μὴ τοιοῦτόν τι πάθος αὐτοῖς διὰ τὸ πλῆθος τυγχάνῃ συμβεβηκός, 322 διόπερ οὐκ ὀρρωδῶ τὸ μέλλον συμβήσεσθαι παρ' ὑμῶν, XVIII 25 ἐπειδὴ δ' οὕτω καλῶς ὑμῖν συμβέβηκεν, 66 τοὐναντίον δ' ἡμῖν συμβέβηκεν ἢ τοῖς ἄλλοις, XX 8 διὰ δὲ τὴν τύχην καὶ τὸν τρόπον τὸν ἐμὸν οὐδὲν τῶν ἀνηκέστων συμβέβηκεν, Epist. I 3 ἤν τι συμβῇ τοιοῦτον, II 1 ἴσως οὐδ' ἂν νῦν ἐπεχείρουν ἀποφαίνεσθαι περὶ τῶν σοὶ συμβεβηκότων, 6 ἵνα καὶ τὰς νίκας τὰς συμβαινούσας κατὰ τρόπον διοικῇς, 12 ἀλλὰ τὸ συμβεβηκὸς ἐμαρτύρει τοὺς λόγους ὀρθῶς ἔχειν, III 4 ὅπερ σοὶ συμβέβηκεν, VI 3 εἰ δή τι συμβαίη καὶ πρὸς ὑμᾶς τοιοῦτον, ibid. αἱ μὲν οὖν αἰτίαι - - τοιαῦται συμβεβήκασιν, VII 2 τὸ παρὰ λόγον συμβαῖνον ἀγαθόν, 6 εὐτυχῶς ἅπαντά σοι συμβέβηκεν, — 2) Or. I 18 (n. 16) οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρισκόμενα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν, cui exemplo 19 loci adsimulari possunt, quibus eadem ratione infinitivus ex voce συμβαίνω pendeat: I 36. 43, II 30, IV 61, V 87. 108. 136, VI 39, VIII 145, IX 53, X 24, XII 199. 212, XIV 39, XV 128, Epist. II 5, III 2, IV 6, IX 14; — b) 1) Or. II 9 τὰ γὰρ ἄλλα τὰ συμπίπτοντα, 35 θεώρει τὰ γιγνόμενα καὶ τὰ συμπίπτοντα καὶ τοῖς ἰδιώταις καὶ τοῖς τυράννοις, IV 71 πλείστων κινδύνων εἰς τὸν αὐτὸν χρόνον συμπεσόντων, V 91 ἀλλ' ὅμως τηλικαύτης συμφορᾶς συμπεσούσης, 95 ὅπερ καὶ συνέπεσεν αὐτοῖς, VIII 91 ἃ καὶ τῇ πόλει συνέπεσεν, XII 191 ἐφ' ὧν καὶ πόλεμοι πλεῖστοι καὶ κίνδυνοι μέγιστοι συνέπεσον, XIII 18 καὶ τούτων μὲν ἁπάντων συμπεσόντων, XV 74 ταῦτα μὲν οὖν, ὅπως ἂν ἡμῖν συμπίπτῃ, ποιήσομεν,

317 ἐκ ταύτης τῆς μεταβολῆς τί τῶν δεινῶν οὐ συνέπεσε τῇ πόλει; XVII 10 πανταχόθεν δέ μοι τοσούτων κακῶν προςπεπτωκότων (l. συμπεπτωκότων cum ΓΕ), Epist. II 3 μηδεμιᾶς τε συμπεσούσης ἀνάγκης, 5 μιᾶς ἀτυχίας συμπεσούσης, 6 τὰς ἀτυχίας τὰς συμπιπτούσας, VI 12 τὰς συμφορὰς τὰς τοῖς ἄρχουσι συμπιπτούσας, — 2) cum infin. Or. V 89, IX 72, Epist. IV 7 ‖ ὑπὸ μέθης] ὑπ' οἴνου ‖ ταὐτὸν] ταὐτὰ cf. V 84 οὔτε γὰρ ταὐτὰ βούλομαι λέγειν τοῖς ἐν ἐκείνῳ γεγραμμένοις, VIII 52 ὥςτε περὶ τῶν αὐτῶν τῆς αὐτῆς ἡμέρας οὐ ταὐτὰ γιγνώσκομεν, XV 83 λέγοντες μὲν γὰρ ταὐτὰ τοῖς πρότερον εἰρημένοις, 203 οὐδ' ἀποδοκιμάζειν τὴν παιδείαν τὴν ταὐτὰ ταῖς πλείσταις τῶν τεχνῶν ἀπεργαζομένην, XIX 51 περὶ γὰρ ἄλλων πολλῶν διαφερόμενοι περὶ τούτου ταὐτὰ γιγνώσκουσιν, XX 4 τοὺς δ' ἐν δημοκρατίᾳ ταὔτ' ἐκείνοις ἐπιτηδεύοντας ἀζημίους ἀφήσετε, Epist. II 12 μὴ συμβουλεύειν ἐδόκουν ταὐτὰ τοῖς ἤδη διὰ τὸ πάθος ὑπὸ πάντων ἐγνωσμένοις. Verumenimvero Gnomologi nostri scripturam recto talo stare ipse Isocrates docet Or. V 24 μηδὲ πάθης ταὐτὸν τοῖς ἐπιτηδείοις τοῖς ἐμοῖς, VII 21 τῆς μὲν ταὐτὸν ἅπασιν ἀπονεμούσης, XII 196 οὐδ' ἔπαθον ταὐτὸν τοῖς διὰ μὲν τὸ καλῶς καὶ φρονίμως βουλεύσασθαι καὶ πλούτους μεγάλους καὶ δόξας καλὰς κτησαμένοις, 199 οὐ μὴν συμβαίνει μοι ταὐτὸν ποιεῖν ἐκείνοις ‖ ἀποβάλλουσιν] ἀποβαλοῦσιν (ἀποβάλλουσιν v.) ‖ διαμαρτάνοντα τῶν εὐθυνόντων] διαμαρτόντα τῶν εὐθυνούντων (sed Photii textum Zv. adgnoscunt). — Imitatur Basilius cap. XXV συνουσίας τὰς ἐν πότοις εὐλαβοῦ· μέθη γὰρ τῇ φρονήσει ἐναντίον τι χρῆμα καὶ πολέμιον· ὅταν γὰρ ὁ νοῦς ὑπὸ τοῦ οἴνου τυραννιθῇ (l. τυραννηθῇ), ταὐτόν τι πάσχει τοῖς φαύλοις ἡνιόχοις, οἳ τὸ ἅρμα κυβερνᾶν ἀδυνατοῦντες καὶ ἑαυτοὺς καὶ τοὺς ἵππους ὧδε κἀκεῖσε περιφέρουσι καὶ γέλωτα τοῖς ὁρῶσι μέγιστον ἐμποιοῦσιν· οὕτω δὲ πασχούσης τῆς διανοίας ἀνάγκη καὶ τὴν ψυχὴν πολλὰ σφαλλομένην διατελεῖν.

36) Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν τῆς ἀπαιδευσίας εἶναι, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ προςεζημίωσε τοὺς ἔχοντας· πολλάκις γὰρ ὧν τοῖς λόγοις ἐλύπησαν, τούτων τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν.

= I 33 (n. 35 apud Isocratem sententia excipit: ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι, θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν § 32): τῆς ἀπαιδευσίας εἶναι] εἶναι τῆς ἀπαιδευσίας hiatu sublato cf. ad n. 23 ‖ ὅσα pro ὅσῳ typothetae errore in editionem principem inrepsit.

37) Οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγελοῦντας· ἀρχὴ γὰρ φιλίας μὲν ἔπαινος, ἔχθρας δὲ ψόγος.

= I 33 (post n. 36): ἀπαγγελοῦντας] aliis praeeuntibus librorum memoriae ἀπαγγέλλοντας substituit Blassius cf. etiam Basilius cap. XXVI ῥᾳδίως κτήσῃ φίλον, ὃν ἂν βουληθῇς, εἰ ἀγαθά τινα λέγεις περὶ αὐτοῦ ἀπόντος ἐπὶ τῶν ἀπαγγελλόντων αὐτῷ· ἀρχὴ γάρ, ὡς ἔοικε, φιλίας μὲν ἔπαινος, ἔχθρας δὲ ψόγος ἐστίν.

38) Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ τὰ δόξαντα ταχέως, καὶ περὶ ὧν ἂν αἰσχύνῃ παῤῥησιάσασθαι, βούλῃ δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις ὥςπερ ἀλλοτρίου τοῦ πράγματος· οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις.

= I 34 (Isocrates post n. 37 praemittit § 34: βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν): τὰ δόξαντα ταχέως] ταχέως τὰ δόξαντα (hiatus ratione habita)· ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν τῶν θεῶν εὐτυχίαν, παρὰ δ' ἡμῶν αὐτῶν εὐβουλίαν ‖ καὶ om. ‖ ὥςπερ] ὡς περί, quae lectio imperitam correctoris male seduli manum prodere videtur. Cum particula ὥςπερ genitivus absolutus sociatur (cf. IV 178 et VII 1 cll. IV 11. 53, XVI 23, XIX 30, Epist. IX 15), ubi participium (ὄντος) omissum nullam offensionem movet cf. Thucydides III 82, 1 καὶ ἐν μὲν εἰρήνῃ οὐκ ἂν ἐχόντων πρόφασιν οὐδ' ἑτοίμων παρακαλεῖν αὐτούς, Xenophon Anab. VII 8, 11 οἱ δὲ λοχαγοὶ ἀπήλαυνον, ἵνα μὴ μεταδοῖεν τὸ μέρος, ὡς ἑτοίμων δὴ χρημάτων, Sophocles O. T. 966 ὧν ὑφηγητῶν ἐγὼ | κτανεῖν ἔμελλον πατέρα τὸν ἐμόν, 1260 δεινὸν δ' ἀύσας, ὡς ὑφηγητοῦ τινος, | πύλαις διπλαῖς ἐνήλατ', O. C. 82 ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας, 1588 ἔξοισθ', ὑφηγητῆρος οὐδενὸς φίλων, Menander Mon. 237 θεοῦ συνεργοῦ (θεὸς συνεργὸς vulgo cf. 'Menandrea' p. 328 sq.) πάντα ποιεῖς (ποιεῖ vulgo) ῥᾳδίως, — addatur Kuehner, ausführliche Grammatik der griechischen Sprache vol. II [2]p. 658 sqq. ‖ γνώμην] διάνοιαν (ex Prisciano XVIII § 158 et 185; γνώμην v., γνῶσιν ΓΖ; cf. Keilius, Anal. Isocr. p. 23 n. 3) ‖ αἰσθήσῃ] αἰσθήσει cf. n. 13.

39) Ὅταν ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύσασθαι, σκόπει πρῶτον, πῶς περὶ τῶν ἑαυτοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς περὶ τῶν οἰκείων οὐδέποτε καλῶς βουλεύεται περὶ τῶν ἀλλοτρίων· οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας· καὶ γὰρ τῆς ὑγείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀῤῥωστίας ἀναμνησθῶμεν.

= I 35: συμβουλεύσασθαι] συμβούλῳ χρῆσθαι (συμβουλεύεσθαι v.; cf. Benseler ad Isocr. Areopag. p. 101 sq.) cf. III 21 καὶ συμβούλοις χρῶνται περὶ αὐτῶν οἱ μὲν τῶν ἀστῶν τοῖς τολμηροτάτοις, V 68 εἴπερ ἐμοὶ συμβούλῳ χρῷο, VIII 13 ὥςτ' ἄξιον θαυμά-

ζειν, εἴ τις ἐλπίζει τὴν πόλιν τοιούτοις συμβούλοις χρωμένην ἐπὶ τὸ βέλτιον ἐπιδώσειν, 52 προσποιούμενοι δὲ σοφώτατοι τῶν Ἑλλήνων εἶναι τοιούτοις χρώμεθα συμβούλοις, 55 οἷς μὲν γὰρ περὶ τῶν μεγίστων συμβούλοις χρώμεθα (sed in altero membro habes: οἷς δ' οὐδεὶς ἂν οὔτε περὶ τῶν ἰδίων οὔτε περὶ τῶν κοινῶν συμβουλεύσαιτο), Epist. VII 3 τίσι συμβούλοις χρώμενος τάς τε τῆς πόλεως ἀτυχίας ἐπανορθώσεις ‖ περὶ τῶν ἑαυτοῦ] τὰ ἑαυτοῦ, quod hiatus genus tolerari non potest; de constructione cf. IV 38 τροφὴν τοῖς δεομένοις εὑρεῖν, ἥνπερ χρὴ τοὺς μέλλοντας καὶ περὶ τῶν ἄλλων καλῶς διοικήσειν. Praestat tamen, ni fallor, πῶς τὰ περὶ ἑαυτὸν διώκησεν cf. V 74 καὶ λόγῳ μὲν μέλλεις Μεσσηνίοις βοηθεῖν, ἂν τὰ περὶ Φωκέας διοικήσῃς, XII 124 οὕτω γὰρ ὁσίως καὶ καλῶς καὶ τὰ περὶ τὴν πόλιν καὶ τὰ περὶ σφᾶς αὐτοὺς διώκησαν, XV 158 οὔτε τὰ περὶ τὴν πόλιν οὔτε τὰ περὶ ἡμᾶς αὐτοὺς κακῶς διωκηκότες, 238 ἀλλ' οὕτω τὰ περὶ ἡμᾶς αὐτοὺς διοικοῦντας, Epist. II 5 ἡγοῦμαι δέ σοι συμφέρειν μιμεῖσθαι τὰς πόλεις, ὃν τρόπον διοικοῦσι τὰ περὶ τοὺς πολέμους, VI 13 καὶ διοικήσειν τὰ περὶ σφᾶς αὐτοὺς cll. Or. VII 31 παραπλησίως δὲ τοῖς εἰρημένοις καὶ τὰ πρὸς σφᾶς αὐτοὺς διώκουν, 67 οὕτω τὰ πρὸς τοὺς ἄλλους καλῶς καὶ νομίμως διώκησαν, VIII 49 ἀλλὰ γὰρ τὰ κατὰ τὴν πόλιν ἄν τις ἰδὼν καλῶς διοικούμενα περὶ τῶν ἄλλων θαρρήσειεν. Dictionem τὰ περὶ ἑαυτὸν inlustrant praeterea similium locutionum exempla: τὰ περὶ ἐμὲ III 56 et XII 271, τὰ περὶ ὑμᾶς III 56, τὰ περὶ Ἀλκιβιάδην V 58, τὰ περὶ τὸν βίον I 47 et XX 1, τὰ περὶ τὴν ἐσθῆτα I 27, τὰ περὶ τοὺς θεούς III 2 et VII 29, τὰ περὶ Κύπρον (καὶ Φοινίκην καὶ Κιλικίαν καὶ τὸν τόπον ἐκεῖνον) V 102, τὰ περὶ τὴν πόλιν IV 92, τὰ περὶ τὸν πόλεμον V 51 et XI 15, τὰ περὶ τὴν χώραν V 101 et VII 1, — τὰ πρὸς ἡμᾶς αὐτοὺς VIII 19, τὰ πρὸς σφᾶς αὐτοὺς VI 67 et VII 36, τὰ πρὸς σφᾶς αὐτὰς V 9, τὰ πρὸς τοὺς βαρβάρους XII 59, τὰ πρὸς τοὺς θεούς I 13 et II 20, coniecturae τὰ περὶ ἑαυτοῦ tantummodo phrasis τὰ περὶ τῆς πόλεως Epist. II 14 patrocinatur ‖ βουλεύεται] βουλεύσεται ‖ ὑγείας] ὑγιείας cf. 'Menandrea' p. 331 n. 1. — Ex Isocrate hausit Basilius cap. XVIII συμβούλοις δὲ χρῶ τοῖς καλῶς περὶ τῶν οἰκείων βουλευσαμένοις καὶ διοικήσασιν, ἀλλὰ μὴ τοῖς κακῶς ἐξ ἀβουλίας τὰ ἑαυτῶν οἰκονομήσασιν· ὁ γὰρ κακῶς περὶ τὰ οἰκεῖα διατεθεὶς οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

40) Εἰς ἀρχὴν καταστα θεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν.

= I 37. Cf. Basilius cap. XXXIII λοιμοὺς ἀνθρώπους τῆς πολιτείας ἐξόριζε καὶ μηδέποτε τοῖς τοιούτοις ἀρχὴν καταπιστεύσῃς, ἵνα μὴ καὶ αὐτὸς ὅμοιος ἐκείνοις εἶναι δόξῃς καὶ χαίρων ἐπὶ τῶν (l. ταῖς) ἐκείνων ἀδικίαις· ἃ γὰρ ἂν ἐκεῖνοι πράξωσι κακά, σοὶ τούτων τὰς αἰτίας ἀναθήσουσι, καὶ τῆς ἐκείνων φαύλης γνώμης κοινωνόν σε νομίσωσι (l. νομίσουσι), καὶ λόγον ὑφέξεις περὶ αὐτῶν τῷ Θεῷ.

41) Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος.

= I 37 (post n. 40). — Verbis ad n. 40 prolatis Basilius cap. XXXIII subiungit: ἡ γὰρ τῶν φαύλων ἀνθρώπων προαγωγὴ τῶν προαγαγόντων ἐστὶν ἔλεγχος ἀκριβής, καὶ τὰ ἐκείνοις πεπραγμένα πονηρὰ τοῖς προχειριζομένοις αὐτοὺς ἅπαντες ἐπιγράφονται. Σπούδαζε οὖν μάλιστα τοὺς ἀγαθοὺς ἄνδρας περιβάλλεσθαι ἄρχοντας, ἵνα αἱ καλαὶ αὐτῶν φῆμαι σὸς γένωνται κόσμος καί, ἅπερ ἐκεῖνοι πράττουσιν ἀγαθά, σοὶ ταῦτα τὸ ὑπήκοον ἐπιγράψηται· πολλῶν γὰρ χρημάτων κρειττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος.

42) Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷα ἂν καὶ τοῖς ἄλλοις πράττουσι βοηθοίης.

= I 37 (post n. 41): οἷά περ propter hiatum cum v., οἷα ΓΖ pr. E, unde οἷ' legendum esse coniecit O. Schneider (cf. n. 61). Equidem particulam καὶ post ἄλλοις conlocare malim cf. I 17 (n. 14 supra): μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης et XV 19 μηδ' ἃ τοῖς ἄλλοις ἂν ἐπιτιμήσαιτε, τούτοις αὐτοὶ φανήσεσθε περιπίπτοντες ‖ καὶ om. cf. ad n. 20 ‖ βοηθοίης] βοηθῇς, sed cf. I 17 et XV 19; neque vulgaris verborum ordo optativo videtur obstare cf. II 6 ἐξ ὧν ἄν τις μάλιστα δύναιτο κατὰ τρόπον διοικεῖν, III 2 δι' ὧν ἄν τις μετ' ἀρετῆς πλεονεκτήσειεν, XV 23 οἵων περ ἂν αὐτοὶ τυγχάνειν ἀξιώσειαν. — Similem sententiam Basilius praebet cap. XLIV δικαίωσον οὖν τὸν ἠδικημένον καὶ ἀμύνου τὸν ἀδικηκότα (l. ἠδικηκότα), ἵνα μή, δι' ὧν περιορᾷς, δόξῃς καὶ αὐτὸς τοῖς ἀδικοῦσι συναδικεῖν καὶ ἀλλοτρίων ἁμαρτημάτων σεαυτὸν ὑπεύθυνον καταστήσεις (l. καταστήσῃς).

43) Μᾶλλον ἀποδέχου δικαίαν πενίαν ἢ πλοῦτον ἄδικον· τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει, κἀκείνων μὲν καὶ τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν.

= I 38 (apud Isocratem § 38 hoc monitum praecedit: παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δυνάμενον, ἀνέχου δὲ τὸ ἴσον ἔχων, ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν): ἡ δὲ] τὸ δὲ (ἡ δὲ v. cf. n. 59 infra) ‖ καὶ τοῖς φαύλοις]

τοῖς φαύλοις Isocr., καὶ τοῖς φαύλοις ex Corais emendatione (vol. II p. 10) recepit Blassius, rectissime cf. II 30 μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις, ἃ καὶ τοῖς κακοῖς διαπράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστιν, 32 καὶ τὰ μὲν καὶ φαύλοις (τοῖς φαύλοις optime v. et Stobaeus Flor. XLVIII 38) παραγίγνεται, τὴν δ' οὐχ οἷόν τ' ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι, III 43 οὐχ ἥκιστα κἀκεῖνο παρεκάλεσεν, ὅτι τῆς μὲν ἀνδρίας καὶ τῆς δεινότητος καὶ τῶν ἄλλων τῶν εὐδοκιμούντων ἑώρων καὶ τῶν κακῶν ἀνδρῶν (vox commode omitti poterat) πολλοὺς μετέχοντας, τὴν δὲ δικαιοσύνην καὶ τὴν σωφροσύνην ἴδια κτήματα τῶν καλῶν κἀγαθῶν ὄντα, Epist. II 10 μηδ' ἀγαπᾶν λίαν τὰς τοιαύτας ἀρετάς, ὧν καὶ τοῖς φαύλοις μέτεστιν, ἀλλ' ἐκείνας, ὧν οὐδεὶς ἂν πονηρὸς κοινωνήσειεν ‖ ταύτης δὲ] τούτου δὲ (ταύτης δὲ v. cf. n. 59).

44) Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι.

= I 39.

45) Πάντων ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι.

= I 40: πάντων] πάντων μὲν ‖ σεαυτοῦ] σαυτοῦ, non recte cf. ad n. 7.

46) Πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος, ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾶν ἐπίστῃ τὰ συμφέροντα.

= I 40 (post n. 45): τὸ μὲν σῶμα] τῷ σώματι μὲν (cf. ad n. 30) ex Blasii coniectura, quem hiatus offendit: τῷ μὲν σώματι ΓZ, τὸ μὲν σῶμα v. ‖ τὴν δὲ ψυχὴν] τῇ δὲ ψυχῇ (τὴν δὲ ψυχὴν v.).

47) Πᾶν ὅ τι ἂν μέλλῃς ἐρεῖν πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας.

= I 41. Expressit Basilius cap. XXXVI ὅπερ ἂν μέλλεις (l. μέλλῃς) ἐρεῖν, προεπισκόπει τῇ γνώμῃ, ἵνα μὴ καὶ ἡ γλῶσσα προτρέχουσα τοῦ λογισμοῦ ἀτάκτως λέγειν ὀνειδισθῇ.

48) Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτε εὐτυχῶν ἔσῃ περιχαρὴς οὔτε δυστυχῶν περίλυπος.

= I 42 (inter n. 47 et n. 48 Isocrates § 41 Gnomologii nostri n. 49 praebet, sed codicis Photiani ordo etiam in Γ recurrit): οὔτε] οὔτ' cf. n. 3 ‖ ἔσῃ] ἔσει cf. n. 13. — De sententia cf. Basilius cap. XXXVIII ἴσθι τέκνον ἐμόν, ὡς οὐδὲν ὁ βίος οὗτος ἔχει τὸ στάσιμον οὐδὲ τὸ βέβαιον ἢ ἀμετάβλητον· ἄλλοτε γὰρ ἄλλως ἀμείβει τὰ πράγματα καὶ τροχοῦ δίκην κυλιομένου τὰ μὲν ἄνω φέρεται κάτω, τὰ δὲ κάτω φέρεται ἄνω· διὸ μήτε εὐτυχίαις ἐπαίρου

μήτε ἐν ταῖς δυστυχίαις καταφέρου et cap. LVIII μήτε οὖν εὐτυχῶν ἐπαρθῇς μήτε γοῦν δυστυχῶν ὑπεραλγήσῃς.

49) Δύο ποιοῦ καιροὺς τοῦ λέγειν· ἢ περὶ ὧν οἶσθα σαφῶς ἢ περὶ ὧν ἀναγκαῖόν ἐστιν εἰπεῖν· ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν ἢ λέγειν.

= I 41 (post n. 47; cf. ad n. 48): ἀναγκαῖόν ἐστιν] ἀναγκαῖον cf. IX 74. Copula adicitur III 52. 54. 55, VII 14, XVI 39. — Isocratis locum in suum usum convertit Basilius cap. XXXVI λέγειν δὲ ἀναγκαῖον, ἢ περὶ ὧν γινώσκεις ἢ περὶ ὧν ὁ καιρὸς ἀπαιτεῖ· ἐν δὲ τοῖς ἄλλοις ἅπασι κρείττων τοῦ λέγειν ἡ σιωπή.

50) Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, λυποῦ δὲ μετρίως ἐπὶ τοῖς γινομένοις τῶν κακῶν· γίνου δὲ τοῖς ἄλλοις μηδὲ ἐν ἑτέρῳ κατάδηλος· ἄτοπον γὰρ τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν.

= I 42 (post n. 48): γινομένοις] γιγνομένοις cf. n. 17 ‖ γίνου] γίγνου cf. n. 17 ‖ μηδὲ] μηδ' cf. n. 3 ‖ ἐν ἑτέρῳ] ἐν ἑτέροις ὤν.

51) Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον· δεῖ γὰρ εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευτήν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν.

= I 43.

52) Μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν, ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης· τὸ μὲν γὰρ τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινε, τὸ δὲ καλῶς ἀποθανεῖν ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμε.

= I 43 (post n. 51).

53) Τῶν φίλων μὴ τοῖς συνεξαμαρτάνουσι πλησίαζε, ἀλλὰ τοῖς νουθετοῦσιν· οἱ πλεῖστοι γὰρ ὥσπερ τῶν σιτίων οὐ τοῖς ὑγιεινοτάτοις, ἀλλὰ τοῖς ἡδίστοις μᾶλλον χαίρουσιν, οὕτω καὶ τῶν φίλων. Διὸ τῶν παρόντων τοῖς φρονιμωτάτοις σύνεσο, καὶ τῶν ἀπόντων οὓς ἂν δύνῃ μεταπέμπου, καὶ τῶν μὲν ἀκροατὴς γίνου, τῶν δὲ μαθητής· ὅσῳ γὰρ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσούτῳ καὶ ταῖς ἀρεταῖς ὑπερφέρειν αὐτῶν δεῖ σε.

a) Τῶν φίλων — οὕτω καὶ τῶν φίλων] cf. I 45 πολλὴν δ' ἂν τοῖς θεοῖς χάριν σχοίην, εἰ μὴ διαμάρτοιμι τῆς δόξης, ἧς ἔχων περὶ σοῦ τυγχάνω· τῶν μὲν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νουθετοῦσι, — b) διὸ — μαθητής] cf. II 12 sq. ὡς καὶ τῆς παιδεύσεως καὶ τῆς ἐπιμελείας μάλιστα δυναμένης τὴν ἡμετέραν φύσιν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην, καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε καὶ τῶν ἄλλων οὓς ἂν δύνῃ μεταπέμπου, καὶ μήτε τῶν ποιητῶν τῶν εὐδοκιμούντων μήτε τῶν σοφιστῶν μηδενὸς οἷόν δεῖν ἀπείρως ἔχειν, ἀλλὰ τῶν μὲν ἀκροατὴς γίγνου, τῶν δὲ μαθητής, καὶ

παρασκεύαζε σαυτὸν τῶν μὲν ἐλαττόνων κριτήν, τῶν δὲ μειζόνων ἀγωνιστήν, — c) ὅσῳ — σε] cf. II 11 ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως, ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις, addatur Basilius cap. X ἀλλ' ὥςπερ βασιλεύειν τῶν λοιπῶν ἀνθρώπων προεκρίθης κατὰ τὴν ἀξίαν, οὕτω προτερεύειν τῶν ὑπὸ χεῖρα πάντων σπεῦδε καὶ κατ' ἀρετήν.

54) Τὴν μεγαλοπρέπειαν ἐνδείκνυσο ἐν μηδεμιᾷ τῶν πολυτελειῶν τῶν εὐθὺς ἀφανιζομένων, ἀλλ' ἐν ταῖς τῶν καλῶν καὶ δικαίων πράξεων ἐργασίαις καὶ ταῖς τῶν φίλων εὐεργεσίαις· τὰ γὰρ τοιαῦτα τῶν ἀναλωμάτων αὐτῷ τε σοὶ παραμενεῖ καὶ τοῖς ἐπιγινομένοις πλείονός σε δόξης ἄξιον ἀποδείξει.

= II 19: ἐνδείκνυσο] ἐπιδείκνυσο, sed ἐνδείκνυσο v. cf. a) IV 44 ἀλλ' ἀθροισθέντων τῶν Ἑλλήνων ἐγγενέσθαι τοῖς μὲν ἐπιδείξασθαι τὰς αὑτῶν εὐτυχίας (l. εὐψυχίας), 85 ἐπεδείξαντο δὲ τὰς αὑτῶν εὐψυχίας πρῶτον μὲν ἐν τοῖς ὑπὸ Δαρείου πεμφθεῖσιν, 149 ὥστε μοι δοκοῦσιν ἐν ἅπασι τοῖς τόποις σαφῶς ἐπιδεδεῖχθαι τὴν αὑτῶν μαλακίαν, VIII 95 πολὺ γὰρ θᾶττον ἐν ἐκείνοις ἐπεδείξατο τὴν φύσιν τὴν αὑτῆς, IX 4 οἱ μὲν τὰς δυνάμεις τὰς αὑτῶν, οἱ δὲ τὰς τέχνας ἐπιδειξάμενοι, X 31 τὴν μὲν οὖν ἀνδρίαν ἐν τούτοις ἐπεδείξατο τοῖς ἔργοις, XIV 28 ὅθεν καὶ μάλιστ' ἐπεδείξαντο τὴν αὑτῶν ἀπιστίαν, XV 24 ἀλλ' ἐν τοῖς μηδὲν ἀδικοῦσιν ἐπιδειξάμενοι τὰς αὑτῶν δυνάμεις, 315 τούτους δ' ἐν ἅπασιν ἐπιδείκνυσθαι τὴν αὑτῶν ὠμότητα καὶ μισανθρωπίαν καὶ φιλαπεχθημοσύνην, XVI 25 τὴν δ' εὔνοιαν, ἣν εἶχον εἰς τὸ πλῆθος, ἐν τοῖς τυραννικοῖς ἐπεδείξαντο, XIX 24 ἐν αὐτοῖς γὰρ τούτοις ἔτι σαφέστερον καὶ μᾶλλον ἐπεδειξάμην (ἐνεπεδειξάμην Blassius cum Benselero tamquam Prisciani scripturam XVII 169 recepit cf. tamen Keilius, Anal. Isocr. p. 136 sq.), XX 4 φανερώτερον γὰρ ἐπιδείκνυνται τὴν αὑτῶν πονηρίαν, 13 νομίζοντες εὕρημ' ἔχειν, ὅταν τινὰ λάβητ' ἐν μικροῖς πράγμασιν ἐπιδεδειγμένον ἅπασαν τὴν αὐτοῦ πονηρίαν, — b) III 61 τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ τοῖς λόγοις, VII 37 τῆς εὐκοσμίας, ἧς οὐχ οἷόν τ' ἦν μετασχεῖν πλὴν τοῖς καλῶς γεγονόσι καὶ πολλὴν ἀρετὴν ἐν τῷ βίῳ καὶ σωφροσύνην ἐνδεδειγμένοις, X 59 ἀλλὰ Ζεὺς ὁ κρατῶν πάντων ἐν μὲν τοῖς ἄλλοις τὴν αὐτοῦ δύναμιν ἐνδείκνυται, 64 ἐνεδείξατο (ἐπεδείξατο Δν.) δὲ καὶ Στησιχόρῳ τῷ ποιητῇ τὴν αὑτῆς δύναμιν, Epist. VII 9 ἡγούμενον λυσιτελεῖν αὐτῷ τεθνάναι τοιαύτην ἀρετὴν ἐνδειξαμένῳ τοῖς πολίταις ‖ ἐν μηδεμιᾷ] μηδ' ἐν μιᾷ (ἐν μηδεμιᾷ v.) cf. I 42 (n. 50 supra) μηδ' ἐν ἑτέροις, III 32 οὐδ' ὑφ' ἑνός, 51 μηδὲ πρὸς ἕν, V 3 μηδ' ἐξ ἑνός, 35 μηδὲ πρὸς μίαν, VI 4 et 25 μηδὲ περὶ ἑνός, 76 μηδὲ περὶ ἕν, IX 43 οὐδὲ περὶ ἕν, 44 οὐδὲ πρὸς ἕν, 52 οὐδὲ περὶ ἑνός, X 6 μηδὲ πρὸς ἕν,

XI 6 οὐδὲ πρὸς ἕν, XII 111 μηδὲ πρὸς ἕν, 127 μηδ' ὑφ' ἑνός, 160 οὐδὲ περὶ ἑνός, 213 μηδὲ περὶ ἑνός, 215 οὐδὲ πρὸς ἕν, XV 110 μηδ' ὑφ' ἑνός, 164 οὐδὲ περὶ ἕνα, 223 οὐδ' ἂν εἷς, 238 οὐδ' ἐν μιᾷ, XXI 20 οὐδ ἂν εἷς ‖ ἐν — ἐργασίαις] ἐν τοῖς προειρημένοις καὶ τῷ κάλλει τῶν κτημάτων ‖ ἐπιγινομένοις] ἐπιγιγνομένοις cf. n. 17 ‖ πλείονός σε δόξης ἄξιον ἀποδείξει] πλείονος ἄξια τῶν δεδαπανημένων καταλείψεις.

55) Οὕτως ὁμίλει πρὸς τοὺς ἥττους, ὥςπερ ἂν τοὺς κρείττους πρὸς ἑαυτὸν ἔχειν ἀξιώσειας.

Cf. II 24 οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους, ὥςπερ ἂν τὰς κρείττους πρὸς ἑαυτὸν ἀξιώσειας.

56) Φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς φιλεῖσθαι ἀξίους, μηδὲ μεθ' ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα συνδιάξεις.

= II 27: τοὺς φιλεῖσθαι ἀξίους) τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας ‖ συνδιάξεις] τὴν πόλιν διοικήσεις. Scilicet universae vitae rationes a Gnomologo nostro exponuntur cf. p. 95 supra.

57) Πιστοὺς ἡγοῦ μὴ τοὺς ἅπαν ὅ τι ἂν ποιῇς ἢ λέγῃς ἐπαινοῦντας, ἀλλὰ τοὺς καὶ τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

= II 28: ποιῇς ἢ λέγῃς] λέγῃς ἢ ποιῇς cf. XII 235 οὓς (συμβούλους) οἶσθ' ἀκριβῶς ἅπαν ὅ τι ἂν σὺ λέγῃς ἢ πράττῃς ἐπαινοῦντας, XV 223 ἀλλ' οὐδ' ἂν εἷς τῶν τοιούτων τοῖς κακόν τι λέγουσιν ἢ πράττουσι διαλεχθῆναι cll. V 13 προστάτην τῶν καὶ λέγειν καὶ πράττειν δυναμένων, VIII 122 τοὺς ὅμοια καὶ λέγοντας καὶ πράττοντας, IX 77 ὅπως καὶ λέγειν καὶ πράττειν μηδενὸς ἧττον δυνήσει τῶν Ἑλλήνων, XII 127 ᾗ συμβέβηκε μήτ' εἰρῆσθαι πρότερον μήτε πεπρᾶχθαι, 187 οὐδὲν οὕθ' ὅσιον οὔτε καλόν ἐστι τῶν μὴ μετὰ δικαιοσύνης καὶ λεγομένων καὶ πραττομένων, 222 ἐν ᾧ (χρόνῳ) καὶ λέγοντας καὶ πράττοντας αὐτοὺς ὄψονται, XV 132 σκοπεῖν, ὅπως ἐπιχαρίτως καὶ φιλανθρώπως ἅπαντα φανήσονται καὶ λέγοντες καὶ πράττοντες, 164 τοῖς δὲ πονηροῖς ἐξουσίαν διδοῦσα καὶ λέγειν καὶ ποιεῖν, ὅ τι ἂν βουληθῶσιν, 191 ὥςθ' ἑκάτερόν τε τούτων δεινὸν ἂν καὶ λέγειν καὶ πράττειν ποιήσειεν, 266 φιλοσοφίαν μὲν οὖν οὐκ οἶμαι δεῖν προσαγορεύειν τὴν μηδὲν ἐν τῷ παρόντι μήτε πρὸς τὸ λέγειν μήτε πρὸς τὸ πράττειν ὠφελοῦσαν, 317 τί δὲ τῶν μεγίστων κακῶν οἱ ταύτην ἔχοντες τὴν φύσιν οὐ καὶ λέγοντες καὶ πράττοντες διετέλεσαν; XVII 33 ὃς ὑπὲρ Πασίωνος ἅπαντα καὶ λέγει καὶ πράττει, 49 αὐτὸς αὑτῷ καὶ λέγων καὶ πράττων φανερός ἐστιν, XXI 9 λέγειν δὲ καὶ πράττειν μᾶλλον δύναται τούτου. — Alteram scripturam alii loci commendant (cf. XV 271 ἣν ἔχοντες ἂν εἰδεῖμεν, ὅ τι πρακτέον ἢ λεκτέον ἐστὶν, XVII 39 ὁμο-

λογῶ καὶ τούτῳ προσομολογῆσαι τριακοσίας δραχμὰς καὶ περὶ τῶν ἄλλων τοιαῦτα πράττειν καὶ λέγειν, Epist. III 2 τούτων ἐπιθυμεῖν, ὧν ὑπονοοῦσί σε βούλεσθαι πράττειν καὶ λέγειν, IX 8 θαυμάζω δὲ καὶ τῶν ἄλλων τῶν πράττειν ἢ λέγειν δυναμένων cl. Or. IV 186 τίς γὰρ ἢ τῶν ποιεῖν δυναμένων ἢ τῶν λέγειν ἐπισταμένων οὐ πονήσει;), ac revera Photii textum adgnoscunt Stobaeus Flor. XLVIII 30 et Bekkeri Anecd. Gr. vol. I p. 128, 10, ποιῇς καὶ λέγῃς suppeditant Maximus 43 p. 639 (Combefis) et codex Parisinus Gr. n. 1168 f. 91^{r} ‖ καὶ om. — Sententiam repetit Basilius cap. XLVIII ἐπαίνει τῶν συνόντων μὴ τοὺς ἅπαντα τὰ πραττόμενά σοι ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἐσφαλμένοις μᾶλλον ἐπιτιμῶντας cf. insuper cap. XVIII ἀλλ' ἐκείνοις μάλιστα συμβουλεύου, οἳ καὶ περὶ τὸ ἐπίστασθαι περὶ τῶν πραγμάτων ὀρθῶς ἔχουσι καὶ οἳ μάλιστα ἐπὶ τοῖς ἐσφαλμένοις σοὶ (l. σε) πολλάκις διελέγχειν εἰώθασι· μόνοι γὰρ οὗτοι καὶ φίλων καὶ συμβούλων τάξιν πιστεύεσθαι ἄξιοι.

58) Διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν.

= II 28. Isocrates inter n. 57 et 58 sententiam δίδου παῤῥησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα, περὶ ὧν ἂν ἀμφιγνοῇς, ἔχῃς τοὺς συνδοκιμάσοντας interiecit, quae simul cum n. 58 imitando expressa est a Basilio cap. XLVIII ἀλλὰ καὶ τοῖς εὖ φρονοῦσι παῤῥησίαν χαρίζου, ἵνα, περὶ ὧν ἀγνοεῖς, ἔχῃς μεθ' ὧν ἄριστα συμβουλεύσῃ· καὶ οὕτω διατεθεὶς σκοπήσεις, ὡς οὐ χρὴ τοῖς διὰ τέχνης κολακεύουσιν, ἀλλὰ τοῖς μετ' εὐνοίας θεραπεύουσι προσέχειν ἀεὶ· τῆς γὰρ ἑτέρου ὠφελείας καὶ βλάβης εὖ μάλιστα πειραθεὶς τοῦ μὲν ἀποφεύξῃ, τοῦ δ' ἐπιτεύξῃ.

59) Περὶ πλείονος ποιοῦ δόξαν καλὴν ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητός, ἡ δὲ ἀθάνατος· καὶ δόξῃ μὲν χρήματα κτητά, δόξα δὲ χρημάτων οὐκ ὠνητή· καὶ τὰ μὲν καὶ φαύλοις παραγίνεται, τὴν δὲ οὐ δυνατὸν ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι.

= II 32: δὲ] δ' cf. n. 3 ‖ παραγίνεται] παραγίγνεται cf. n. 17 ‖ δὲ] δ' cf. n. 3 ‖ οὐ δυνατὸν] οὐχ οἷόν τ' cf. VII 37 ἐπιμελεῖσθαι τῆς εὐκοσμίας, ἧς οὐχ οἷόν τ' ἦν μετασχεῖν πλὴν τοῖς καλῶς γεγονόσι καὶ πολλὴν ἀρετὴν ἐν τῷ βίῳ καὶ σωφροσύνην ἐνδεδειγμένοις. — Gnomologi lectio correctorem redolet.

60) Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν ἀεί, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν.

= II 38: ἀεὶ om. propter hiatum. — De sententia cf. Basilius cap. XLIX ἵνα καλὰ μὲν ἐκμελετήσῃς λέγειν, τὰ ὅμοια δὲ συνεθι-

σϑῆς πράττειν· καὶ ἃ φρονεῖν ἐπιτηδεύσεις διὰ τῶν λόγων, ταῦτα ποιεῖν ἐπιμελήσει διὰ τῶν ἔργων.

61) Ὅπερ ἄν σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει.

= II 38 (post n. 60): ἅπερ] ἅττ' cf. III 47, XVII 51.

63) Μὴ σπεῦδε πλουτεῖν μᾶλλον ἢ χρηστὸς εἶναι δοκεῖν· οἱ γὰρ μεγίστην ἐπ' ἀρετῇ δόξαν ἔχοντες, οὗτοι καὶ πλείστων ἀγαϑῶν δεσπόται καϑίστανται· μηδὲ τοὺς παρὰ τὸ δίκαιον χρηματισμοὺς ἡγοῦ κέρδος, ἀλλὰ κίνδυνον μᾶλλον φέρειν εἰδὼς ἐκ τούτων φυλάσσου.

Cf. III 50 μὴ σπεύδετε πλουτεῖν μᾶλλον ἢ χρηστοὶ δοκεῖν εἶναι, γιγνώσκοντες, ὅτι καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων οἱ μεγίστας ἐπ' ἀρετῇ δόξας ἔχοντες πλείστων ἀγαϑῶν δεσπόται καϑίστανται· τοὺς χρηματισμοὺς τοὺς παρὰ τὸ δίκαιον γιγνομένους ἡγεῖσϑε μὴ πλοῦτον, ἀλλὰ κίνδυνον ποιήσειν. —

Fragmentis Isocrateis sententia eximenda est, quae inter n. 61 et 63 locum tenet: 62) Θέλε τοὺς συνόντας σοι αἰδεῖσϑαί σε μᾶλλον ἢ φοβεῖσϑαι· αἰδοῖ μὲν γὰρ πρόσεστι σέβας, φόβῳ δὲ μῖσος. Eandem tamquam locum communem conlectiones quaedam (Pal. 65, Bar. 87, Mon. 42) servant, ex quibus 'Gnomologium Byzantinum ἐκ τῶν Δημοκρίτου, Ἰσοκράτους, Ἐπικτήτου' C. Wachsmuthius reconcinnavit (Studien zu den griechischen Florilegien — Berolini 1882 — p. 179 n. 78), ad Pythagoram auctorem Stobaeus Flor. XLVIII 20 et Apostolius (sive potius Arsenius) VIII 89[g] (Paroemiographi Graeci ed. Schneidewin-Leutsch, vol. II p. 456) referunt, sententiis Pythagoricis adnumerant Demophilus (γνῶμαι Πυϑαγορικαὶ n. 21 apud Mullachium, Fragmenta Philosophorum Graecorum vol. I p. 498) et codex Vindobonensis philos. et philol. n. 225 apud H. Schenkelium (Pythagoreersprüche in einer Wiener Handschrift) 'Wiener Studien' vol. VIII (1886) p. 270 n. 42, denique Sexti verbis: Θεοῦ ἄξιόν σε ποιήσει τὸ μηδὲν ἀνάξιον αὐτοῦ πράττειν[1]) subiungit Georgides p. 43. Nihil sylloge Vindobonensis et Georgides, alii testes plus minusve[2]) variant;

---

[1]) Cf. Wachsmuth n. 12. — Gemella Sexti sententia: ϑεοῦ ἄξιος ὁ μηδὲν ἀνάξιον ϑεοῦ πράττων (n. 4 p. V Elter) tamquam ἔννοια Pythagorica in Schenkelii codice (n. 40) recurrit.

[2]) Θέλε] αἱροῦ Pal. Bar. Mon. || σοι om. Bar. Mon., Demoph. (cum F) || αἰδεῖσθαί σε] αἰδεῖσθαι Mon. (cum MF) || μᾶλλον post αἱροῦ ponunt Bar. Pal. Mon., post ϑέλε Demoph. Stob. Apost. || μὲν om. Demoph. — Codicum MF varia lectio φόβος (pro σέβας) nihili est cf. Musonius apud Stobaeum Flor. XLVIII 16 et Antonium II 1 p. 80, 5 sq. (Gesner) πειρατέον καταπληκτικὸν μᾶλλον τοῖς ὑπηκόοις ἢ φοβερὸν ϑεωρεῖσθαι· τῷ μὲν γὰρ σεμνότης, τῷ δὲ ἀπήνεια παρακολουθεῖ, ubi Meinekius vol. IV p. LXVIII in voce ἀπήνεια offendens ἀπέχϑεια minus recte temptabat; equidem ἀπήχεια delitescere mihi persuasi cf.

nec tamen dubitari potest, quin Gnomologus Stobaeo paraenesin debeat, quippe qui etiam n. 110 — 134 suppeditarit:

110) Οὐ μετανοεῖν δεῖ τὸν ἄνδρα τὸν σοφόν, ἀλλὰ προνοεῖν, ὅπως μὴ πράξῃ, ἐν οἷς πράξας μετανοήσει.

Cf. Stobaeus Flor. I 14 (Ἐπιχάρμου)· οὐ μετανοεῖν, ἀλλὰ προνοεῖν χρὴ τὸν ἄνδρα τὸν σοφὸν (Aug. O. Fr. Lorenz, Leben und Schriften des Koers Epicharmos. Nebst einer Fragmentensammlung B 20 p. 260).

111) Ζημίαν αἱροῦ μᾶλλον ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ ἅπαξ σε λυπήσει, τὸ δὲ διαπαντός.

= V 31 (Χίλωνος). Demetrii Phalerei syntagma (τῶν ἑπτὰ σοφῶν ἀποφθέγματα) in Stobaei Florilegio (III 79 γ΄ Χίλων υἱὸς Δαμαγήτου Λακεδαιμόνιος ἔφη) varietatem scripturae τὸ δ' ἀεὶ pro τὸ δὲ διαπαντὸς (cum V) offert.

112) Οὔτε ἵππος εὐγενὴς κρίνοιτο ἂν <ὁ> πολυτελῆ σκευὴν ἔχων, ἀλλ' ὁ τῇ φύσει λαμπρός, οὔτε ἀνὴρ σπουδαῖος ὁ πολλὴν οὐσίαν κεκτημένος, ἀλλ' ὁ τὴν ψυχὴν γενναῖος.

= I 37 (Σωκράτους): κρίνοιτο] κρίνοιτ' ‖ πολλὴν] πολύτιμον cf. Gnomol. Byzant. n. 19 Wachsmuth.

113) Κυβερνήτου μὲν ἀγαθοῦ πρὸς τὰς τῶν πνευμάτων ἐμβολὰς διαγενέσθαι, ἀνδρὸς δὲ σοφοῦ πρὸς τὰς τῆς τύχης.

= III 40 (ἐκ τῶν Ἀριστωνύμου τομαρίων): κυβερνήτου μὲν] κυβερνήτου μὲν ἔργον citra necessitatem ‖ πρὸς] εἰς, sed πρὸς coniectura adsecutus est Meinekius ‖ ἐμβολὰς] μεταβολὰς ‖ διαγενέσθαι] ἁρμόσασθαι ‖ τύχης] ψυχῆς (ante Gesnerum).

114) Ἀντὶ βοῶν ἀγέλης πειρῶ φίλων ἀγέλας αὐλίζεσθαί σου ἐν τῇ οἰκίᾳ.

= V 113 (inter Epictetea): αὐλίζεσθαί σου ἐν τῇ οἰκίᾳ] ἐναγελάζεσθαί σου τῇ οἰκίᾳ.

115) Ὥςπερ λύκος ὅμοιος κυνί, οὕτω καὶ κόλαξ καὶ παράσιτος ὅμοιοι φίλῳ· πρόσεχε τοίνυν, μὴ ἀντὶ κυνῶν φυλάκων λάθῃς λυμεῶνας εἰςδεχόμενος λύκους.

= V 114 (inter Epicteti reliquias); ὅμοιος] ὅμοιον ‖ καὶ παράσιτος] καὶ μοιχὸς καὶ παράσιτος ‖ ὅμοιοι] ὅμοιον ‖ τοιγαροῦν] τοίνυν ex A recepit Meinekius, τοιγαροῦν vulgo ‖ λυμεῶνας εἰςδεχόμενος] etiam apud Stobaeum legebatur, εἰςδεχόμενος λυμεῶνας ex A Meinekius edidit.

Harpocration: ἀπήχεια ἀντὶ τοῦ ἀπέχθεια Λυσίας πρὸς Μέδοντα (fragm. 166 apud C. Muellerum, Oratt. Att. vol. II p. 283) καὶ Δείναρχος κατὰ Κηφισοκλέους (fr. 92, ibid. p. 464).

116) Οὔτε ἵππῳ χωρὶς χαλινοῦ οὔτε πλούτῳ χωρὶς λογισμοῦ δυνατὸν ἀσφαλῶς χρήσασθαι.

= III 90 (Σωκράτους).

117) Πολύβουλον εἶναι καὶ πολύτροπον κατὰ ἀλλοφύλων πολεμίων χρήσιμον καὶ ἀναγκαῖον, ἐπίβουλον δὲ ἦθος καὶ κακομήχανον ἔχειν κατὰ τῶν πλησίον οὐ φρονίμων, ὥς τινες οἴονται, ἀλλὰ πονηροτάτων καὶ διαβόλων ἔργον ἡγοῦ.

= II 36 (ἐν ταὐτῷ = ἐκ τῆς ἐπιστολῆς περὶ φιλίας. Epistulae auctor Plutarchus est): κατὰ ἀλλοφύλων πολεμίων] ἔνθα δεῖ καὶ τέχνης κατ' ἀλλοφύλων πολεμίων ‖ δὲ] δ' ‖ κακομήχανον] κακομηχανώτατον (κακομήχανον recte Duebner coniecit, Plutarch. Fragm. p. IX) διὰ παντὸς ‖ κατὰ τῶν πλησίον] καὶ κατὰ πάντων ‖ οὐ φρονίμων — ἡγοῦ] οὐ τῇ τῶν ἀγχινόων, ὥς τινες οἴονται, τῇ δὲ τοῦ πονηροτάτου (τῶν πονηροτάτων?) μερίδι προστίθημι.

118) Οἱ μὲν ἀκρατεῖς ἐν ταῖς ἀῤῥωστίαις, οἱ δὲ ἄφρονες ἐν ταῖς ἀτυχίαις εἰσὶ δυσθεράπευτοι.

= IV 108 (Σωκράτους).

119) Φιλόσοφος νέου τινὸς εἰπόντος, ὅτι μέγα ἐστὶ τὸ τυχεῖν, ὧν ἄν τις ἐπιθυμῇ, 'πολλῷ μεῖζόν ἐστιν' εἶπε 'τὸ μηδὲ ἐπιθυμεῖν, ὧν μὴ δεῖ'.

= V 123 (Μενεδήμου): φιλόσοφος] Μενέδημος cf. ad Gnom. Vat. n. 407 ('Wiener Studien' vol. XI — 1889 — p. 64) ‖ νεανίσκου] νέου ‖ ὅτι om. ‖ πολλῷ μεῖζόν ἐστιν, εἶπε] εἶπε· πολλῷ μεῖζόν ἐστι.

120) Ἀνδρείας μὲν οὐδὲν ὄφελος μὴ παρούσης δικαιοσύνης· εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲ ἀνδρείας δεήσεσθαι.

= IX 27 (Ἀγησιλάου): ἀνδρείας] ἀνδρίας ‖ μὲν] μὲν γὰρ ‖ γένοιντο] γίνοιντω ‖ μηδὲ] μηδὲν ‖ ἀνδρείας] ἀνδρίας. — Dicti fons est Plutarchus Vit. Agesil. XXIII 6 p. 608 F καίτοι τῷ λόγῳ πανταχοῦ τὴν δικαιοσύνην ἀπέφαινε πρωτεύειν τῶν ἀρετῶν· ἀνδρείας μὲν γὰρ οὐδὲν ὄφελος εἶναι, μὴ παρούσης δικαιοσύνης· εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας δεήσεσθαι. Eodem redit Agesilai apophthegma apud Ps. – Plutarchum, Apophthegm. Lacon. Mor. p. 213 n. 62 B ἐρωτηθεὶς δέ ποτε, ὁποτέρα βελτίων τῶν ἀρετῶν, ἀνδρεία ἢ δικαιοσύνη, οὐδὲν ὄφελος ἀνδρείας ἔφασκεν εἶναι, μὴ παρούσης δικαιοσύνης· εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας δεηθήσεσθαι cf. praeterea Stobaeus Flor. VII 72 (τοῦ αὐτοῦ = Πλουτάρχου) Ἀγησίλαος περὶ ἀνδρείας καὶ δικαιοσύνης ἐρωτηθείς, ποτέρα ἂν κρείττων εἴη, μηδὲν ἀνδρείας δεήσεσθαι ἡμᾶς ἔφη, εἰ δίκαιοι πάντες γίνοιντο et Ps. – Plutarchus Reg. et imper. Apophthegm. Mor. p. 190 F n. 3 περὶ ἀνδρείας καὶ δικαιοσύνης ἐρωτηθείς, ποτέρα βελτίων, 'οὐδὲν ἀνδρείας' ἔφη 'χρήζομεν, ἐὰν πάντες ὦμεν δίκαιοι'.

121) Τίμιος μὲν καὶ ὁ μηδὲν ἀδικῶν, ὁ δὲ ἐπιτρέπων τοῖς ἀδικοῦσι μὴ ἀδικεῖν πλείονος τιμῆς ἄξιος ἐκείνου· ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος· ὁ δὲ καὶ κολάζων εἰς δύναμιν τοὺς ἀδίκους, οὗτος τέλειος ἀνὴρ ἐν πόλει.

= IX 55 (Πλάτωνος νόμων ε′ = p. 730 D). — Stobaeus Platonis textum et hic repetit et Flor. I 95, ubi lemma Πλάτωνος νόμων ε′ amplius philosophi fragmentum (p. 727 E — 732 B) complectitur: μὲν] μὲν δὴ ‖ ἐπιτρέπων — ἀδικεῖν] μηδ' ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν ‖ πλείονος] πλέον ἢ διπλασίας ‖ ἀντάξιος] ἀντάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν ‖ κολάζων ἀδίκους] ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν ‖ οὗτος — πόλει] ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῇ.

122) Δημοσθένης ἔλεγεν, ὡς πολλάκις αὐτῷ ἐπῆλθεν εὔξασθαι ἀπολέσθαι τοὺς πονηρούς, ἐφοβεῖτο δὲ τοῦτο ποιῆσαι, ἵνα μὴ ἔρημον ἐκ τῆς εὐχῆς τὴν πόλιν ποιήσῃ.

= II 22 (Δημοσθένους): ὡς — ποιήσῃ] ὡς πολλάκις ἐπιὸν αὐτῷ εὔξασθαι τοὺς πονηροὺς ἀπολέσθαι καὶ (ἀεὶ coniecit Meinekius vol. IV p. LIII, equidem voculam delendam esse censeo) φοβοῖτο, μὴ ἔρημον ἄρδην ἐκ τῆς εὐχῆς ποιήσῃ τὴν πόλιν.

123) Αἱρετώτερον, φησὶν Ἀντισθένης, τὸ εἰς κόρακας ἐμπεσεῖν ἢ εἰς κόλακας· οἱ μὲν γὰρ τοῦ ἀποθανόντος τὸ σῶμα, οἱ δὲ τοῦ ζῶντος τὴν ψυχὴν λυμαίνονται.

= XIV 17 (Ἀντισθένους): αἱρετώτερον, φησὶν Ἀντισθένης] Ἀντισθένης αἱρετώτερόν φησιν ‖ τὸ om. ‖ τοῦ ἀποθανόντος — τοῦ ζῶντος] ἀποθανόντος — ζῶντος.

124) Πιττακὸς ἀδικηθεὶς ὑπό τινος καὶ ἔχων ἐξουσίαν τοῦ κολάσαι αὐτὸν ἀφῆκεν εἰπών ὅτι 'συγγνώμη τιμωρίας ἐστὶν ἀμείνων· τὸ μὲν γὰρ θηριώδους, τὸ δὲ ἡμέρου φύσεώς ἐστι σημεῖον'.

= XIX 14 (Πιττακοῦ): τοῦ κολάσαι αὐτὸν] αὐτὸν κολάσαι ‖ ὅτι om. ‖ ἐστὶν om. ‖ τὸ — σημεῖον] τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι, τὸ δὲ θηριώδους.

125) Οἶνος καὶ ἡ τῶν σαρκῶν ἐμφόρησις σῶμα μὲν ἰσχυρὸν ποιοῦσι καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀσθενῆ· καὶ χρημάτων ἐπιμέλεια μὲν καὶ τήρησις αὔξει πλοῦτον, σωφροσύνη δὲ καὶ μετριοφροσύνη μέγα πρὸς φιλοσοφίαν ἐφόδιον.

= XXI 16 (Πλουτάρχου ἐκ τοῦ περὶ εὐθυμίας = Mor. p. 472 B): οἶνος — ἐμφόρησις] καὶ μὴν οἶνοί τε καὶ σαρκῶν ἐμφορήσεις (οἶνός et ἐμφόρησις recte Plutarchus exhibet) ‖ ἐπιμέλεια μὲν] ἐπιμέλεια μὲν συνεχὴς (Plut. adiectivum συνεχὴς post τήρησις conlocat) ‖ σωφροσύνη δὲ καὶ μετριοφροσύνη] ἀνυπεροψία δὲ καὶ σωφροσύνη (ὑπεροψία δὲ καὶ περιφρόνησις Plut.). — Post ἐφόδιον Stobaeus cum Plutarcho haec addit: ὅθεν οὐ πάντα πάντων ἐστιν, ἀλλὰ δεῖ τῷ Πυ-

δικῷ γράμματι πειθόμενον αὐτὸν καταμαθεῖν, εἶτα χρῆσθαι πρὸς ἓν, ὃ πέφυκε, καὶ μὴ πρὸς ἄλλον ἄλλοτε βίου ζῆλον ἕλκειν καὶ παραβιάζεσθαι τὴν φύσιν.

126) Πολλὴν ἐπιμέλειαν ποιοῦ περὶ τοῦ μὴ λέγειν, ἃ μὴ δεῖ· ἀπαιδεύτου γάρ ἐστι τὸ μὴ δύνασθαι σιωπᾶν, ἀλλ' ἐκλαλεῖν τὰ μὴ καλῶς ἔχοντα.

= XXXIII 13 (Ἀπολλωνίου τοῖς γνωρίμοις): ποιοῦ] ποιεῖσθαι (ποιεῖσθε coni. Meinekius ad Stobaei Floril. vol. IV p. LXIV) ‖ ἀπαιδεύτου γὰρ] παντελῶς γὰρ ἀπαιδεύτου τινός.

127) Οἱ κράτιστοι τῶν ἀνθρώπων βραχυλογώτατοι· οἱ οὖν ἀδόλεσχοι εἰ ἠνιῶντο, ὡς ἀνιῶσιν, οὐκ ἂν ἐμακρηγόρουν.

= XXXVI 29 (τοῦ αὐτοῦ Εὐφράτη. Praecedit XXXVI 28 Ἀπολλωνίου τοῖς γνωρίμοις· πολυλογία πολλὰ σφάλματα ἔχει, τὸ δὲ σιγᾶν ἀσφαλές): ἀδόλεσχοι] ἀδολέσχαι.

128) Ἀρίστιππος ἐρωτηθείς, τί θαυμαστόν ἐστιν ἐν βίῳ 'ἄνθρωπος' εἶπεν 'ἐπιεικὴς καὶ μέτριος, ὅτι ἐν πολλοῖς ὑπάρχων μοχθηροῖς οὐ διέστραπται'.

= XXXVII 25 (Ἀρίστιππος, — l. Ἀριστίππου): θαυμαστόν] ἀξιοθαύμαστον ex codicibus Meinekius recepit; θαυμαστὸν etiam Gnom. Vat. n. 26 offert ('Wiener Studien' vol. IX — 1887 — p. 188) ‖ βίῳ] τῷ βίῳ ‖ ἄνθρωπος εἶπεν] εἶπεν ἄνθρωπος.

129) Οἷς τισιν ὁ τρόπος ἐστὶν εὔτακτος, τούτοις καὶ ὁ βίος συντέτακται.

= XXXVII 26 (Δημοκρίτου): οἷς τισιν] οἵσιν ‖ ἐστὶν] ἐστὶ ‖ τούτοις] τουτέοισι.

130) Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένοις ἕπεται κατ' ἀνάγκην σκιά, τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.

= XXXVIII 35 (τοῦ αὐτοῦ = Σωκράτους).

131) Μὴ παιδὶ μάχαιραν, ἡ παροιμία φησίν· ἐγὼ δὲ φαίην· μήτε παιδὶ πλοῦτον μήτε ἀνδρὶ ἀπαιδεύτῳ δυναστείαν ἐγχειριστέον.

= XLIII 136 (Πλουτάρχου ἐκ τοῦ ὅτι γυναῖκα παιδευτέον) sive XCII 11 (Πλουτάρχου ἐκ τοῦ ὅτι καὶ γυναῖκας [κακὰς][1]) παιδευτέον): φαίην] φαίην ἂν XCII 11 recte; altero loco Meinekius codicibus refragantibus ἂν adiecit ‖ μήτε — μήτε] μὴ — μηδὲ ‖ ἀπαιδεύτῳ δυναστείαν] ἀπαιδευσίαν XCII 11 librarii errore ‖ ἐγχειριστέον om., sed cf. Plutarchus Quaest. Conviv. I 1, 3 Mor. p. 714 E εἰ δὲ μή, δοτέον, ὥσπερ παισὶν ἀτρεμεῖν μὴ δυναμένοις, οὐ δόρυ καὶ ξίφος, ἀλλὰ πλαταγὴν καὶ σφαῖραν, ὥσπερ ὁ θεὸς τὸν νάρθηκα τοῖς μεθύουσιν ἐνεχείρισε κουφότατον βέλος. Addantur

---

[1]) Vocem κακὰς recte Meinekius cancellis saepsit; praeterea corrigendum erat γυναῖκα cf. XVIII 28 et 32, XLIII 136, XCV 15, CXX 23.

Stobaeus Flor. II 40 et XLIII 71 (Ἰαμβλίχου ἐκ τῶν προτρεπτικῶν εἰς φιλοσοφίαν λόγων: 2 p. 18 K.) ὁμοίως ἐπισφαλὲς μαινομένῳ δοῦναι μάχαιραν καὶ μοχθηρῷ (πονηρῷ II 40; cf. Antonius II 1 p. 80, 10) δύναμιν, Dio Cassius LII 14 p. 670 R. καὶ διὰ τοῦτο ὁ μὲν τοῖς τοιούτοις τὴν ἐξουσίαν διδοὺς παιδί δή τινι καὶ μαινομένῳ ξίφος ὀρέγει, Photius et Suidas μὴ παιδὶ μάχαιραν· ἐπὶ τῶν εἰκῇ ἐγχειριζόντων, Macarius V 94 μὴ παιδὶ ξίφος· ἐπὶ τῶν τὰ ἀσύμφορά τισι διδόντων, Diogenianus VI 46, Gregorius Cyprius Leidensis II 70, Apostolius XI 51: μὴ παιδὶ μάχαιραν· μὴ τοῖς ἀπείροις ἐγχειρίζειν (ἐγχειρεῖν Diogen.) μεγάλα πράγματα (πράγματα μεγάλα Apost., πράγματα Greg.), μή πως (ἵνα μὴ Diogen.) καθ' ἑαυτῶν χρήσωνται.

132) Δεῖ τοὺς νοῦν ἔχοντας τῶν ἀρχόντων μὴ διὰ τὰς ἀρχάς, ἀλλὰ διὰ τὰς ἀρετὰς θαυμάζεσθαι, ἵνα τῆς τύχης μεταπεσούσης τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται.

= XLV 18 (Ἀριστοτέλους): ἀρχόντων] δυναστευόντων.

133) Χρύσιππος ἐρωτηθείς, διὰ τί οὐ πολιτεύεται, 'ὅτι' ἔφη 'εἰ μὲν πονηρὰ πολιτεύομαι, τῷ Θεῷ ἀπαρέσκω, εἰ δὲ χρηστά, τοῖς πολίταις'.

= XLV 29 (Χρυσίππου): ὅτι, ἔφη] εἶπε, διότι ‖ πολιτεύομαι] πολιτεύεται ‖ ἀπαρέσκω] ἀπαρέσει.

134) Ὅσοι τοὺς ἀδικοῦντας κολάζουσιν, οὗτοι τοὺς ἄλλους ἀδικεῖσθαι κωλύουσιν.

= XLVI 25 (Ἰσαίου).

40071